F. 470v. Librarius duos dies memorat, Aprilis diem tertium, anni ,ϛϡνθ' ιη' (?) *ἰνδ.* et Septembris κς' anni ,ϛϡνη', *ἰνδ.* ιγ', quibus diebus pueri nati sunt ; anno autem ,ϛϡνη' libri possessoris filius natus est (scil. anni 1450-1).

F. 471. Praecepta de emplastris ; expl. F. 472v.

15. Cod. Scorialensis III. *X.* 1 (erat III. *Z.* 10 ; III. *H.* 2) ; chart , saec XV ; ff XIII +4-252+II cm 26,6×19,5 — Laudatur in Turriani *Catalogo* (I *X* 16), F. 99^{v} ; in Turriani *indice alphabetico* (I *X* 18), F. 34 : *Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας τοῦ μεγάλου .. Περὶ κανόνων πρὸς Ἀμφιλόχιον* III. *Z.* 10 ; *H* 2 ; F. 86^{v} *Ἑρμοῦ τοῦ Τρισμεγίστου Ποιμάνδρης.. Περὶ σεισμῶν, ἐν ἄλλῳ Ὀρφέως* III. *Z.* 10 *H.* 2 ; VI. *Z.* 10 ; F. 197^{v} *Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας... Κεφάλαια δώδεκα ἃ συνέταξε κατὰ τοῦ δυσσεβοῦς Νεστορίου* III. *Z.* 10. *H* 2 ; F 142^{v} *Ἰωάννου ἐπισκόπου Κίτρου Ἐκ τῶν ἀποκρίσεων πρὸς τὸν ἐπίσκοπον Διρραχίου τὸν Καβάσιλα* III *Z* 10 *H* 2 ; F 235^{v} *Νικήτου μητροπολίτου Ἡρακλείας Ἀπόκρισις πρός τινα Κωνσταντῖνον ἐκκλησιάρχην τῆς μεγάλης ἐκκλησίας* III *Z* 10 *H* 2 ; F 237^{v} *Νικήτα Μοναχοῦ καὶ πρεσβυτέρου μονῆς τοῦ Στουδίου τοῦ Στηθάτου Περὶ ψυχῆς* III *Z* 10 *H.* 2. *Περὶ παραδείσου* III *Z* 10 *H* 2 *Εἰς τὴν οὐρανίαν ἱεραρχίαν, καὶ εἰς τὴν ἐκκλησιαστικὴν ὡσαύτως ἱεραρχίαν, ἀτελ.* III. *Z.* 10 *H* 2 ; F 288^{v} *Σωκράτους Ἐκ τοῦ ἑβδόμου, ἐν ᾧ καὶ παραδείγματα εἰσάγει τῆς τῶν θρόνων μεταθέσεως.* III. *Z.* 10. *H.* 2. — Cf. MILLER, *Cat.* p 395.

F. I-II^{v} Vacant — F III. Index latinus — F. III^{v} *Τὰ ὀνόματα συναχθέντων.* (*Ἑρμηνεία τῶν συνοδικῶν κανόνων* — *Ἑρμηνεία περὶ τοῦ ἁγίου Πάσχα*) — Haec Turrianus scripsit — F IV-IV^{v} Vacant — F. V-V^{v} Index graecus locupletissimus Turriani manu exaratus

F 1-3 Desunt.

F. 4 Titulum exhibet index codici praemissus : *Ἑρμηνεία τῶν συνοδικῶν κανόνων, ἀκέφαλος.* — Cf. et Turriani catalog. (I *X* 16), F 99^{v} — In marg *Συνεκροτήθη ἡ ἁγία σύνοδος αὕτη ἐπὶ Κελεστίνου πάπα Ῥώμης, Κυρίλλου Ἀλεξανδρείας, Ἰωάννου Ἀντιοχείας, Ἰουβεναλίου Ἱεροσολύμων, τῆς δὲ Κωνσταντινουπόλεως ὑπῆρχεν Νεστόριος ὁ δυσσεβής, καὶ Μέμνονος* (sic) *Ἐφέσου.* (*Τοῦ Νεστορίου καθαιρεθέντος, ἐπέστη ἐν Ἐφέσῳ ὁ πατριάρχης Ἀντιοχείας Ἰωάννης — παρὰ τοῦ Ἀλεξανδρείας καὶ παρὰ τοῦ Κωνσταντινουπόλεως.*)

F 176. *Τοῦ ἐν ἁγίοις πατρὸς ὑμῶν*(sic) *Βασιλείου τοῦ μεγάλου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας περὶ κανόνων πρὸς Ἀμφιλόχιον.* (*Ἀνοήτῳ — διὰ συνουσίας μου πεποιηκότα.*)

F. 198. (*Ἰστεόν ὅτι ὁ Σεβῆρος καὶ Γαιανὸς ὁμόφρονες ἐτύγχανον τὸ πρὶν — οἱ δὲ Γαιανῖται καὶ Ἰουλιανῖται ἐξ αὐτῆς ἄκρας ἑνώσεως κατὰ πάντα τρόπον ἄφθαρτον λέγουσι τὸ σῶμα τοῦ Χριστοῦ καὶ θεῖον, καὶ μίαν ἰδιότητα ἐπ' αὐτοῦ, τουτέστιν θεικὴν καὶ ἀπατῇ ἀφθαρτοδοκῆται τυγχάνοντες.*)
(*Ἰστέον ὅτι οὐ δύνανται δεῖξαι πατέρα ἔκκριτον εἰπόντα τὸν Χριστὸν ἐξ αὐτῆς ἑνώσεως — καὶ ἀποσπαράγματα λόγων.*)
(*Σημείωσαι ὅτι κατὰ τὸν ἅγιον Δαμασκινὸν* (sic) *ὁμώνυμόν*

ἐστιν τὸ τῆς φθορᾶς ὄνομα — ἃ (sic) *γεγονέναι φησὶ τὸ εὐαγγέλιον τὴν πίναν* (sic) *τὴν ὄψαν καὶ τὰ ἑξῆς.*)

F. 198v. Vacat.

F. 199. *Τοῦ αὐτοκράτορος τῶν Ῥωμάνων κατὰ ἀριθμὸν ἀξιώματα.* (*Μετὰ τῶν* (sic) *αὐτοκράτορα, πρώτος* (sic) *ἐστὶ δεσπότης. Σεβαστοκράτωρ μετ' αὐτὸν, καὶ Καῖσαρ μετ' ἐκεῖνον — τοῦ κάστρου προκαθήμενος δρουγγάριος τοῦ στόλου.*) — Hi versus (15 syllab.) de sacri palatii et imperii officiis agunt.

F. 200. *Τῆς ἐκκλησίας τῆς μεγάλης τὰ ὀφφίκια.* (*Πρώτη πεντάς Ὁ μέγας οἰκονόμος · ὁ μέγας σακελλάριος — ἕκτη πεντάς. Τὸν ῥήτορα · διπλοῦς ὁστιαρίους · ὁ νομοδότης νοτάριοι.*) *Οἱ θρόνοι ἡ* (sic) *ὑποκείμενοι τῷ πατριάρχῃ Κωνσταντινουπόλεως.* —(*α'. Καισάρεια — μγ'. ἡ Ἄπρως.*)

F. 200v. *Αἱ ἀρχιεπισκοποίαι* (sic) *ἔτι αἱ ἀρχιεπισκοπίαι.* (*α'. ἡ Βυζίη — λθ' τὰ Μέτραχα.*)

F. 201. *Λατινικαὶ λέξεις.* (*Ἀδρούμιον · κατ' ὄνομα διέρχεσθαι. ἀκουίλιος ἀγωγὴ ἡ ἔχουσα κατάδικον. βέβηλον · ἰδιοτικόν* (sic) *— φούρτη ἀγωγὴ κατὰ κλεπτῶν εἰς τὸ διπλοῦν.*)

F. 201v. *Τὰ ιβ' κεφάλαια, ἃ συνέταξεν ὁ ἅγιος Κύριλλος Ἀλεξανδρείας, κατὰ τοῦ δυσσεβοῦς Νεστορίου.* (*Εἴ τις οὐχ ὁμολογεῖ θεὸν εἶναι κατὰ ἀλήθειαν — ἀνάθεμα* (sic) *ἔστω.*)

F. 202. *Σωκράτους ἐκ τοῦ ζ' τόμου, ἐν ᾧ καὶ παραδείγματα εἰσάγει τῆς τῶν ἀνθρώπων μεταθέσεως.* (*Σιλβανὸς ὁ τῆς Τρωάδος ἐπίσκοπος — καὶ διὰ ταῦτα μεγίστην εὔκλειαν παρὰ πάντων ἐκέκτητο.*)

Ἐκ τῶν ἀποκρίσεων Ἰωάννου τοῦ ἱερωτάτου ἐπισκόπου Κίτρου, πρὸς τὸν ἱερώτατον ἐπίσκοπον Δυρραχίου τὸν Καβάσιλαν. (*Τὰ ἀντιμίνσια τῆς ἁγιαστικῆς μετασχόντα δυνάμεως — πόρνου ἐπιτιμᾶται.*)

F. 204v. *Νικήτα μητροπολίτου Ἡρακλείας ἀπόκρισις πρὸς τὸν Κωνσταν.* (sic) *ἐκκλησιάρχην τῆς μεγάλης ἐκκλησίας.* — Index gr. codici praemissus exhibet *πρός τινα Κωνσταντῖνον.*) —(*Γυναίκα* (sic) *τίς ἠγάπετο — τῆς μετανοίας ἑκάστης ποιῶν β'.*)

In marg. *Τοῦ Κίτρου.* (*Ὁ ἐπίσκοπος τοῖς ὑπ' αὐτὸν ἱερεῦσι δήπου τοὺς λογισμοὺς — ἢ κανο* (sic) *ἐναντιοῦται.*) — *Τοῦ Κίτρους* etiam in summo margine F. 205.

F. 205v. *Ἑρμοῦ τοῦ Τρισμεγίστου περὶ σεισμῶν. ἐν ἄλλῳ Ὀρφέως.* (*Φράζει δὲ καὶ τόνδε τὸν λόγον, τέκος, ὁππότε — τετραπόδων φθόρος ἔσται ἂν ἄστεα καὶ κατὰ χώρας.*) — Haec in duas columnas distributa sunt ; margini duodecim Zodiaci signa adpicta. — Vd. *Cat. codd.astr.* I, 4 (5, f.367v) ;

II, 14 (5, f. 289) ; III, 5 (5, f. 100) ; 17 (24, f. 20) ; 19 (31, f. 24v) ; V I, 54 (2, f. 270) ; V, III, 5 (18, f. 2) ; 71 (23, f. 214v ; VII, 44 (25, f. 15v) ; 59 (26, f. 147) ; 65 (28, f. 277v) ; VIII, III, 4 (29, f. 71) ; 11 (33, f. 40) ; 69 (47, f. 146v) ; 73 (50, f. 258) ; 74 (50, f. 107) ; et 52 f. 261v) ; 75 (54, f. 88) ; 76 (57, f. 220v) ; 79 (58, f. 34v). Et paraphrasim indicavi

F 206 <De septem miraculis-mundi> (Ὁ (sic) *ἐν Αἰγύπτῳ πυραμίδες — τὸ ῥουφίνειον ἄλσος ἐν Περγάμῳ*)
Ἀποφθέγματα τῶν ζ' σοφῶν. (*Κλεόβουλος πᾶν μέτρον ἄριστον — Θαλῆς, ἐγγύα, πάρα δ' ἄτα.*)
Ἑρμηνεία περὶ τοῦ ἁγίου Πάσχα. (*Τὸν Μάρτιον δὲ πρῶτον εἶναι μῆνα πιστεύομεν ἐξ ὧν ὁ Μωυσῆς εἶπεν — καὶ πρὸ τῆς ἰσημερίας ἐπετέλ. τὸ Πάσχα.*)

F. 206v. *Ὅτι διὰ τί οἱ τοῦ ἡμετέρου προσδιορισμοὶ Πάσχα.* (*Τοῖς Ἰουδαίοις ἡμᾶς συνεορτάζειν καὶ τὴν ἐαρινὴν περιμένειν ἰσημερίαν — καὶ ἡ τῶν φωστήρων κίνησις τὴν ἀνωμαλίαν πεποίηκε.*)
Τίνος ἕνεκεν μετ' ἰσημερίαν τὸ Πάσχα γίνεται. (*Ἀλλὰ γὰρ καλὸν ἂν εἴη σκοπῆσαι — καὶ ἀπόκρυφον καὶ οὐκ ἐξαπλωμένον* (?)).

F. 207. *Κηρίξατε* (sic) *πανταχοῦ καὶ τὸν λόγον βεβαιοῦντες · ὅτι μετὰ τῶν λόγων τὰ ἔργα, καὶ ὁ λόγος διὰ τῶν ἔργων βεβαιοῦται... — Σχόλιον εἰς τὸ κατὰ Λούκαν ἅγιον εὐαγγέλιον.* (*Ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα — καὶ οὐ δύνανταί σοι λόγον ἢ ἀπόκρισιν δοῦναι.*)

F. 207v-209v. Nonnulla graece conscribillaverunt manus · duae vel tres.

F. 210. <Anepigraph. acephal.> *μήτε τὰς ἡμέρας, μὲν τῆς νυκτὸς — τὸ σωτήριον Πάσχα οὐκ ἔξω λόγου τελεῖται κτέ.* Rursus agitur de Pascha.

V. 210v. *Πῶς εὑρίσκεται τὸ νομικὸν Φάσκα.* (*Κράτησον τὸν ἐν τῇ α' τοῦ Ἰανουαρίου εὑρεθέντα τῆς Σελήνης θεμέλιον — τελούμενον γινώσκει. Πάσχα τὸ νόμινον.*) Sunt capita nonnulla de Pascha.

F. 212-212v. Vacant.

F. 213. *Νικήτα εὐτελοῦς μοναχοῦ καὶ πρεσβυτέρου τῶν Στουδίου τοῦ καὶ Στηθάτου λόγος περὶ ψυχῆς.* (*Φιλοσοφῆσαι δεῖν ἔγνω περὶ ψυχῆς ἐν τῷ γήρᾳ κτλ.*)

F. 232. <Eiusdem.> *Περὶ παραδείσου.* (*Ἄγε δὴ καὶ περὶ παραδείσου φιλοσοφήσομεν — χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.*)

F. 247. *Νικήτα τῷ θεοφιλεστάτῳ διακόνῳ τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας καὶ οἰκουμενικῷ διδασκάλῳ. Νικήτα εὐτελοῦς* χ *α καὶ πρεσβυτέρου · ὁ* (sic) *καὶ Στηθάτου. Τὸν εἰς τὴν*

οὐρανίαν ἱεραρχίαν καὶ τὴν καθ' ἡμᾶς ἐκκλησιαστικὴν ὡσαύτως ἱεραρχίαν διὰ θεωρίας πονηθέντα μοι λόγον.

χ

Θεωρία καὶ σύνοδος ἱερὰ Νικήτα α καὶ πρεσβύτερου τοῦ καὶ Στηθάτου εἰς τὴν οὐρανίαν ἱεραρχίαν καὶ τὴν ἐκκλησιαστικὴν ὡσαύτως ἱεραρχίαν. (Titulus igitur bis scriptus est.) (*Σύνοδον ἱερὰν καὶ τράπεζαν ἀμβροσίας* — f. 252 *τῆς δόξης αὐτοῦ τῷ δὲ ὁ δεύτερος...* Cetera desunt.)

APPENDIX

EXCERPTA EX CODICE 1 (Scor. I. R. 14)

F. 151. — **Prognosticon.**

Ἡμέρα τοῦ Κρόνου ἤτοι Σάββατον.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ τὸ γεννηθὲν βρέφος οὐκ ἐπιτήδειον τρέφεσθαι, ἐκτὸς εἰ μή τις τῶν ἀγαθοποιῶν ἀστέρων αὐτὸν θεωρήσῃ. ἔσται δὲ μικροπρόσωπον, καλόν, μελάγχροον, ἄσαρκον, μεγάλα ἔχον τὰ ὦτα, τοῖς δὲ τρόποις κακόηθες καὶ βλαβερόν. ἐὰν δὲ <ἡ> ἡμέρα ᾖ τοῦ Κρόνου, ἡ ὥρα δὲ τοῦ Διός, τὸ γεννηθὲν ζώσιμον· εἰ δὲ ἡμέρα ἡ αὐτὴ καὶ ὥρα τοῦ Ἄρεος, οὐ ζήσεται. εἰ δὲ ὥρα Ἑρμοῦ, τρόφιμον ἔσται· εἰ δὲ ὥρα Σελήνης, οὐ τρόφιμον· εἰ δὲ ὥρα Ἀφροδίτης, τρόφιμον· εἰ δὲ ὥρα τοῦ Κρόνου καὶ ἡμέρα τοῦ αὐτοῦ, πάντως οὐ ζήσεται.

Ἡμέρα Ἡλίου ἤτοι Κυριακή.

Ἐὰν ἡ ἡμέρα ὑπάρχῃ Ἡλίου καὶ ἡ ὥρα τοῦ Ἡλίου, οὐ πολυχρόνιον ἔσται τὸ γεννηθέν· εἰ δὲ ἡμέρα Ἡλίου, ὥρα δὲ Ἀφροδίτης, πολυχρόνιον· εἰ δὲ ἡμέρα τοῦ Ἡλίου, ὥρα δὲ τοῦ Ἑρμοῦ, οὐ πολυχρόνιον· εἰ δὲ ἡμέρα Ἡλίου, ὥρα δὲ Σελήνης, ζώσιμον· εἰ δὲ ἡμέρα Ἡλίου, ὥρα δὲ τοῦ Κρόνου, οὐ τρόφιμον· εἰ δὲ ἡμέρα Ἡλίου, ὥρα δὲ Διός, πολυχρόνιον· εἰ δὲ ἡμέρα Ἡλίου, ὥρα δὲ Ἄρεος, οὐ τρόφιμον.

Ἡμέρα Σελήνης ἤτοι δευτέρα.

Τὸ τεχθὲν παιδίον ταύτῃ τῇ ἡμέρᾳ καὶ τῇ α' ὥρᾳ οὐ καλὸν ἔσται· ποικίλαις γὰρ λύπαις περιπεσεῖται. πάντα τὰ γεννώμενα μακρὰ γίνονται, λευκά, λεπτά,στρεβλά, ἀηδῆ, μεσοχρόνια, ὀλιγό-

---

S = Scor. I. R. 14. — s = Scor. III. *Y*. 21.

3 *εἰ μὴ ὡς τῶν* s *θεωρήσει* s 4 *μακροπρόσωπον* S *ἔχων* S 6 *ᾖ* om. S *τοῦ Διός τοῦ Αἰγοκέρωτος* S 7 *ἡ αὐτὴ καὶ* s, *τοῦ Κριοῦ ἡ* S, *Ἄρεως* S 9 *τοῦ Κρόνου* s, *τοῦ Κριοῦ* S 10 *πάντως* deest in s *ὥρα δὲ Ἀφροδίτης - ἡμέρα Ἡλίου* om. s 14 *δὲ* om. s 20 *α'*] Leg. *Ἄρεως*? 21 *ποικίλας* S 22 *μακρὰ γί<νονται>* s, *γίνονται μακρά* S 22 *ἀειδῆ* sS

τεκτα, θηρίγονα, ἄστοργα, ταῖς δὲ ψυχαῖς ἐπίπονα, ζημιώδη, ἑαυτὰ λυποῦντα. ἐὰν τεχθῇ ἐν τῇ αὐτῇ ἡμέρᾳ τῆς Σελήνης καὶ τῆς αὐτῆς α' ὥρα, ἔσται ὡς εἴπομεν. εἰ δὲ γεννηθῇ ὥρᾳ τοῦ Κρόνου, οὐ τρόφιμον · εἰ δὲ ἡμέρᾳ τῇ αὐτῇ, ὥρᾳ δὲ τοῦ Διός, τὸ γεννηθὲν πολυχρόνιον. εἰ δὲ ἡμέρᾳ Σελήνης, ὥρᾳ δὲ τοῦ Ἡλίου, πολυχρόνιον · εἰ δὲ Σελήνης ἡμέρᾳ, ὥρᾳ δὲ Κρόνου (?), οὐ πολυχρόνιον · εἰ δὲ Σελήνης ἡμέρᾳ, ὥρᾳ δὲ Ἀφροδίτης, πολυχρόνιον · εἰ δὲ ἡμέρᾳ Σελήνης καὶ ὥρᾳ Σελήνης, ὡς προείπομεν, οὐ πολυχρόνιον ἀλλὰ καὶ ἐπιβλαβές.

Ἡμέρα Ἄρεος ἤγουν τρίτη.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἐὰν γεννηθῇ θῆλυ, εἰς βλάβην τῶν αὐτοῦ γονέων γενήσεται. ἐν ταύτῃ τὸ γεννηθὲν ἔσται τὸ εἶδος καὶ τὴν φυὴν μακρὸν καὶ μακροπρόσωπον, σπανόν, ἀσεβές, ἀναιδές, ἐπίορκον, ἀλλοτρίων ἐπιθυμοῦν, βίαιον, παμφάγον, πολυγύναιον, πολύπαιδον, ἀπὸ αἵματος τὸν βίον περιποιούμενον. ταῦτα ἔχει ἡ Ἄρεος ἡμέρα καὶ ὥρα. εἰ ἡμέρᾳ Ἄρεος, ὥρᾳ δὲ Ἡλίου τεχθῇ, οὐ τρόφιμον ἔσται · εἰ δὲ ἡμέρᾳ Ἄρεος, ὥρᾳ δὲ Ἀφροδίτης, οὐ πολυχρόνιον · εἰ δὲ ἡμέρᾳ Ἄρεος, ὥρᾳ δὲ τοῦ Κρόνου, οὐ ζώσιμον · εἰ δὲ ἡμέρᾳ Ἄρεος, ὥρᾳ δὲ Διός, πολυχρόνιον · εἰ δὲ ἡμέρᾳ καὶ ὥρᾳ τοῦ Ἄρεος, οὐ τρόφιμον, ἀλλὰ καὶ ἐπικίνδυνον εἰς πάντα.

Ἡμέρα Ἑρμοῦ ἤτοι τετάρτη.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ τὰ γεννώμενα ἔσονται λογικά, μεμαθητευμένα καὶ εἰς πᾶν πρᾶγμα χαριέστατα καὶ ἑτοίμως παρὰ πολλῶν ὠφελούμενα. πάντα δὲ συντόμως καινοτομοῦσι καὶ φθείρουσι · γυναιξὶ πολλαῖς συνέσονται, εἶτα πρὸς μίαν κρατηθῶσι, καὶ τὸν βίον ἐπιτηδεύσουσιν, ἢ καὶ τεκνοποιήσουσιν. ἐὰν δὲ ἡμέρᾳ Ἑρμοῦ, ὥρᾳ δὲ Σελήνης, τὸ γεννηθὲν πολυχρόνιον · εἰ δὲ ἡμέρᾳ τοῦ Ἑρμοῦ, ὥρᾳ δὲ Κρόνου, οὐ ζώσιμον · εἰ δὲ ἡμέρᾳ Ἑρμοῦ, ὥρᾳ δὲ Διός, πολυχρόνιον · εἰ δὲ ἡμέρᾳ Ἑρμοῦ, ὥρᾳ δὲ Ἀφροδίτης, οὐ

---

1 *θηρίγονα* om. S *ἑαυτὰ λυποῦντα* om. S 2 *εἰ τεχθῇ* S *καὶ τῇ αὐτῇ πρώτη ὥρα* S 3 *ἔσται* om. s *εἰ δὲ τῇ ὥρα τοῦ Κρόνου* S 4 *τῇ αὐτῇ* et Lunae fig. s, *σελήνης* S *Διός* iam non legitur in s 5 *σελήνης* S, *τῇ αὐτοῦ* et figura Lunae s *εἰ δὲ — πολυχρόνιον* om. S 6 *Κρόνου* iam non legitur ; leg. *Ἑρμοῦ* ? 11 *ἐὰν γεννηθῇ — ἐν ταύτῃ* om. S 15 *περιποιούμενος* S 17 *ἔσται* deest in s 22 *τῇ ἡμέρᾳ* om. S *μεμαθητευμένα* S, *μεμουσωμένα παιδείας ἐκ τῆς* s 29 *Ἀφροδίτης* et *Ἑρμοῦ* per signa scripta sunt.

πολυχρόνιον · εἰ δὲ ἡμέρᾳ Ἑρμοῦ, ὥρᾳ δὲ Ἡλίου, τρόφιμον · εἰ δὲ καὶ ἡμέρᾳ καὶ ὥρᾳ τοῦ Ἑρμοῦ, οὐ ζώσιμον τὸ γεννηθέν.

Ἡ μ έ ρ α Δ ι ὸ ς ἤ γ ο υ ν π έ μ π τ η.

Ἐν ταύτῃ τὰ γεννώμενα παιδία τρόφιμα ἔσονται καὶ λευκόχροα καὶ εὐμήκη. ἐὰν ἡμέρᾳ Διός, ὥρᾳ δὲ Ἄρεος, τὸ γεννηθὲν οὐ ζώσιμον · εἰ δὲ ἡμέρᾳ Διός, ὥρᾳ δὲ Ἡλίου, οὐ πολυχρόνιον · εἰ δὲ ἡμέρᾳ Διός, ὥρᾳ δὲ Ἀφροδίτης, πολυχρόνιον · εἰ δὲ ἡμέρᾳ Διός, ὥρᾳ δὲ Ἑρμοῦ, οὐ πολυχρόνιον · εἰ δὲ ἡμέρᾳ Διός, ὥρᾳ δὲ Σελήνης, οὐ τρόφιμον. εἰ δὲ ἡμέρᾳ Διός, ὥρᾳ δὲ τοῦ Κρόνου, οὐ ζώσιμον · ἐὰν δὲ ἡμέρᾳ καὶ ὥρᾳ Διός, πολυχρόνιον.

Ἡ μ έ ρ α Ἀ φ ρ ο δ ί τ η ς ἤ γ ο υ ν κ α τ α σ κ ε υ ή.

Ἐν ταύτῃ τὰ γεννώμενα ἔσονται λευκόχροα, εὐειδῆ, κάθυγρα, συνόφρυα, λευκοτράχηλα, ἡδέα, εὐήθη, κοινὰ πᾶσι, προσηνῆ, οὐ πολυφάγα, πολύτροπα, εὐσεβῆ, δίκαια, φιλικά, ἐπίπονα. τὸ γεννηθὲν ἐν ἡμέρᾳ Ἀφροδίτης, ὥρᾳ Ἑρμοῦ, πολυχρόνιον · εἰ δὲ ἡμέρᾳ Ἀφροδίτης, ὥρᾳ δὲ Σελήνης, οὐ πολυχρόνιον · εἰ δὲ ἡμέρᾳ Ἀφροδίτης, ὥρᾳ δὲ Κρόνου, οὐ τρόφιμον · εἰ δὲ ἡμέρᾳ Ἀφροδίτης, ὥρᾳ δὲ Διός, πολυχρόνιον · εἰ δὲ ἡμέρᾳ Ἀφροδίτης, ὥρᾳ δὲ Ἄρεος, οὐ τρόφιμον · εἰ δὲ ἡμέρᾳ Ἀφροδίτης, ὥρᾳ δὲ Ἡλίου, οὐ πολυχρόνιον · εἰ δὲ ἡμέρᾳ καὶ ὥρᾳ τῆς Ἀφροδίτης, πολυχρόνιον.

F. 152ᵛ. Εἰ π λ ο ύ σ ι ο ν ἢ π τ ω χ ὸ ν γ ε ν ή σ ε τ α , τ ὸ γ ε ν ν η θ έ ν.

Τὰ πλούσια τῶν ζῳδίων εἰσὶ ταῦτα · Κριός, Ταῦρος, Δίδυμοι, Λέων, Τοξότης. τὰ τῆς πενίας Παρθένος καὶ Ὑδροχόος. ταῦτά σοι παρατηρητέον κατὰ τὰ γενέθλια κατά τε τὸν ἡλιακὸν καὶ σεληνιακὸν δρόμον, καὶ οὐχ ἁμαρτήσεις ἐπὶ τὸ νοηθέν. τὰ ἄλλα δὲ πάντως μέσα εἰσὶ τῶν τοιούτων.

Εἰδέναι δὲ ὀφείλεις καὶ τοῦτο, ὅτι τοῖς κατὰ τὸν Κριὸν καὶ Ταῦρον γεννωμένοις κτηνοτροφεῖν ἁρμόζει πάντα μὲν κτήνη, ἐξαιρέτως δὲ τὰ τῇ κλήσει κατάλληλα τῶν ζῳδίων · οὕτω γὰρ ἂν εὐδοκιμήσωσι τὸν πλοῦτον. τοῖς δὲ κατὰ Λέοντα καὶ Τοξότην τὸ

---

1 οὐ πολυχρόνιον s, πολυχρόνιον S 4 ἔσονται λ. εὐμήκη S 9 τοῦ om. s 11 κατασκευή S, ς′ s Leg. παρασκευή 12 λευκόχρωαγ ευκοτράχηλα S 15 ἐν om. s 19 Ἄρεος, s, Διός, S 24 Δίδυμος S 30 γεννώμενα S κτηνοτροφεῖν s, τὴν τροφὴν S 31 τὰ ὄντα τῇ κλήσει S οὕτε S 32 τοῖς δὲ κατὰ Λέοντα s, ταῦτα δὲ πάντα λέγομεν S

μὲν τοῖς μεγαλείοις ἐμφιλοχωρεῖν λεοντικόν, τὸ δὲ στρατιωτικὸν ἅμα καὶ κυνηγετικόν, τῆς δὲ τῶν γραμμάτων παιδείας οἱ Δίδυμοι. Ταῦτα δὲ πάντα λέγομεν γίνεσθαι διὰ τῶν διαιτ ύντων οὐχ ὡς ἐξ οἰκείας δυνάμεως ἀλλ' ἀπὸ Θε ῦ τὰς ἐνεργείας ἐσχηκότων, ταῦτα δεικνύειν καὶ ἐργάζεσθαι,ὡς τὰ σύμπαντα δοῦλα Θεοῦ ὄντα καὶ ὑπηρετοῦντα τῷ αὐτοῦ θείῳ κελεύσματι · τὰς δὲ βαναύσους τέχνας ἐν τοῖς μέσοις τῶν ζῳδίων δεῖ σε νοεῖν.

F. 152v. *Οἱ οἶκοι τῶν ἀστέρων μετὰ καὶ αὐτῶν τῶν πλανήτων.*

Χσά, τζά, δπέ, τίζ, ἄυκ, Καρκῖνος, Λέων. Ἰδοῦ ἐνταῦθα πέντε συλλαβαί εἰσι τρίγραμμοι, μία δὲ ἑκάστη τρία τινὰ δηλοῖ. τὸ γὰρ πρῶτον γράμμα τῆς συλλαβῆς καὶ τὸ δεύτερον σημαίνει τὰ δύο ζῴδια, ἤτοι δύο οἴκους, τὸ δὲ τρίτον τῆς συλλαβῆς γράμμα τὸν πλάνητα τὸν ἔχοντα ταῦτα οἴκους, ὥστε διὰ τῶν πέντε συλλαβῶν γινώσκονται οἵ τε οἶκοι καὶ οἱ πλάνητες τῶν οἴκων. Ὁ δὲ Καρκῖνος μόνος ἐστὶ τῆς Σελήνης, καὶ ὁ Λέων ὡσαύτως μόνος τοῦ Ἡλίου · οἱ γὰρ πέντε πλάνητες ἔχουσιν ἀνὰ δύο οἴκους, ὁ δὲ Ἥλιος καὶ ἡ Σελήνη ἀνὰ ἕνα, ὡς μὴ κυρίως πλάνητες. οἶκοι δὲ λέγονται τὰ τοιαῦτα ζῴδια τῶν ῥηθέντων πλανήτων διὰ τὸ ὁμογενὲς αὐτῶν κατὰ τὰς ποιότητας · ὅθεν καὶ δυνήσῃ πάντως ἀπὸ τῆς τῶν οἴκων διαγνώσεως καὶ τὴν τῶν πλανήτων διαγινώσκειν ποιότητα.

F. 153. *Τήρησις τῶν ἡμερῶν τῆς Σελήνης, ποία ἀγαθὴ καὶ ποία παρατηρήσιμος, ἐν αἷς παραδηλοῦνται καὶ ἑκάστης ἡμέρας αἱ ὧραι.*

Τῇ πρώτῃ ἡμέρᾳ ᾗ γεννᾶται ἡ Σελήνη φαίνει οὐγγίας ἐννέα. Ἑρμῆς ἐγεννήθη.

Αὕτη ἡ ἡμέρα εἰς πάντα τὰ ἐγχειρούμενα πράγματα καλή

---

1 *τῶ δὲ στρατιωτικὸν* S 4 *οἰκειας*] *ἰκειας* cod. *ταῦτα δὲ πάντα λέγομεν* S *ἐσχηκότα* Ss *ταῦτα* om. S 14 *διὰ* om. s 15 *αἱ πλ.* s

a = *Ambros.* E. 16 sup. ; cf. *Cat.* III, p. 32 sqq. — n = *Neapolit.* II. c. 33 ; cf. *Cat.* IV, p. 142 sqq. — p = *Paris,* gr. 1184 ; cf *Cat.* VIII, iv, p. 105 sqq., ubi usque ad octavum diem editum est hoc lunarium ; et vid. in huius voluminis tom. II quae de *Matrit.* 4616 dicturi sumus ; S = I. R. 14.

22 *Τήρησις — ὧραι* S, *Σεληνοδρόμιον ταχθὲν ἐκ β' βιβλίων* p. Sequitur in p caput (*τὴν σεληνοδρόμιαν — τῆς Σελήνης οὕτως*),quod in S deest. 26 *Τῇ πρώτῃ — ἐγεννήθη* S, *Ἡμέρα πρώτη τῆς Σελήνης* p 27 *Αὕτη ἡ ἡμέρα* S, *Ἡ ἡμέρα αὕτη* p *τὰ* S, om. p,

ἐστι· πραγματεύεσθαι, πλέειν τε καὶ ὁδοιπορεῖν, σώματα ὠνεῖσθαι καὶ διαθήκας γράφειν, παῖδας εἰς μάθησιν διδόναι, μισθὸν λαμβάνειν· θεμέλιον τιθέναι. ὁ φυγὼν ἐντὸς ὀλίγων ἡμερῶν εὑρεθήσεται, ὁ ἀσθενεῖν ἀρξάμενος ὑγιαίνει. τὰ γεννώμενα τρόφιμα ἔσται, μάλιστα τὰ θηλυκὰ νοῦν ἔχοντα. τὸ ἀπολλύμενον εὑρεθήσεται. τὸ γεννηθέν παιδάριον ἔσται εὔπορον καὶ εὐμετάβολον καὶ κυνηγήτης, καὶ περιελεύσεται τὴν οἰκουμένην πρὸς τὴν οἰκείαν προαίρεσιν, κα ἔσται γνήσιος θεοῦ, καὶ ἀνθρώποις φιλητός, γενόμενος δὲ μέγας, νέος ἀποθανεῖ ἐν αὐτῇ τῇ ἡμέρᾳ ᾗ ἐγεννήθη. [ὁ φυγὼν δυσκόλως εὑρεθήσεται.].

Τῇ δευτέρᾳ ἡμέρᾳ ἡ Σελήνη φῶς φέρει, φαίνει ὥραν μίαν, οὐγγίας ἓξ. Ἰεδονὰ ἀστὴρ ἐγεννήθη. ἄλλως· Φωσφόρος ἐγεννήθη.

Αὕτη ἡ ἡμέρα ἐστὶ καλή. ὁ γεννηθεὶς τρόφιμος ἔσται, κἂν κοράσιον ὑπάρχῃ, γυνὴ δὲ περιληφθεῖσα ταχέως διαλυθήσεται. ἔχει δὲ ἡ ἡμέρα αὕτη ἱλαρίαν, τοῖς δὲ θέλουσι γαμεῖν οὐ παρατηρήσιμος ἔσται ποιεῖται δὲ τὰς φιλίας κτωμένοις καὶ νεωτέροις καὶ πᾶσι, καὶ σώματα ἀγοράζειν μάλιστα θηλυκά, μισθοὺς διδόναι καὶ λαμβάνειν, καὶ κοινωνεῖν. ὁ φυγὼν πρὸς θηλυκὸν πρόσωπον εὑρεθήσεται. ὁ ἀσθενεῖν ἀρξάμενος ὑγιαίνει. καλὸν δὲ καὶ ἀγρῶν ἐπιμελεῖσθαι καὶ εἰς προῖκα τιθέναι τι, ὡσαύτως καὶ πᾶσαν ἐργα-

---

2 *καὶ διαθήκας* S, *διαθήκας* p *μισθὸν* S, *μισθοὺς* p
3 *θεμέλιον* S, *θεμελίους* p ; *θεμέλια* n 4 *ὑγιαίνει* S, *ταχέως ἀποθνήσκει* p 5 *ἔσται* S, *ἔσονται* p *μάλιστα — ἔχοντα* S, om. p *τὸ — εὑρεθήσεται* S, *τὰ ἀπολόμενα εὑρεθήσονται* (l. *τὸ ἀπολ.*) p
6 *παιδάριον* S, *παδίον* p *εὐμετάβολος* S, *εὐμετάβολον* p
7 *κυνηγήτης* S, *κυνηγὸν καὶ μέγας κατὰ τὸν βίον* p 8 *ἀνθρώπων* codd. *φιλητός* S, *φίλτατος* p 9 *δὲ μέγας* S, *καὶ μέγας κατὰ τὸν βίον* p *ἀποθανεῖ* S, *ἀποθνήσκει* p *ᾗ* S, *ἐν ᾗ* p
11 *Τῇ δευτέρᾳ — ἐγεννήθη* S, *Ἡμέρα β' τῆς Σελήνης· φωσφορεῖ* p recte 12 *μίαν* corr. : *πρώτην* cod.
15 *Αὕτη καλή* S, *ἐν αὐτῇ τῇ ἡμέρᾳ* p *κἂν* S, *καὶ εἰ* p 16 *ὑπάρχῃ* S, *ὑπάρχει* p *διαλυθήσεται* S, *διαισθήσεται* p 17 *τοῖς* S, *τοῖς δὲ* p *γαμεῖν* S, *γάμον ποιεῖν* p *οὐ* S, om. p 18 *ἔσται* S *ἐστι* p *ποιεῖται δὲ τὰς φιλίας* S, *τοῖς τὰς φιλίας* p 19 *πᾶσι* Sp ; verbum deesse putat Boudreaux *μάλιστα θηλυκά* S, om. p *διδόναι* S, *δίδειν* p 20 *κοινωνεῖν* S, *κοινωνίαν ποιεῖν* p
21 *ὑγιαίνει* S, *κινδυνεύσει* p *δὲ καὶ* S, *δέ ἐστιν* p *ἀγρῶν ἐπιμελεῖσθαι* S, *ἀγρὸν ἐπελεῖσθαι* p 22 *ὡσαύτως* S, om. p

σίαν ἄρχεσθαι. τὸ γεννηθὲν παιδίον, εἰς ὃ πρᾶγμα ἐπιβάλληται, ὁλοσχερῶς καὶ ψυχῇ καὶ σώματι ἐπικαλεῖται, ἀλλ' οὖν γε οὐχ ὑπερβήσεται. κοράσιον γεννηθὲν φιλητὸν ἔσται πᾶσιν ἀνθρώποις. τὸ κλαπὲν καὶ ἀναχωρῆσαν ἐντὸς ὀλίγων ἡμερῶν εὑρεθήσεται.

Τῇ τρίτῃ ἡμέρᾳ ἡ Σελήνη ἀνατέλλει, καὶ φαίνει ὥρας δύο, οὐγγίας τρεῖς. Ἄνεμος ἐγεννήθη ἐν ταύτῃ.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ παντὸς πράγματος ἀπέχου · παρατηρήσιμος γάρ ἐστι, καὶ οὐδὲν εὔχρηστον ἐν αὐτῇ. ὁ ποιῶν πραγματείαν ζημιωθήσεται. τὸ γεννηθὲν οὐ τρόφιμόν ἐστιν. ὁ φυγὼν καὶ τὸ κλαπὲν καὶ ἀπολεθὲν <οὐχ> εὑρεθήσονται. κωλύει δὲ καὶ κοινωνεῖν καὶ γαμεῖν καὶ δανείζειν καὶ δανείζεσθαι καὶ ἀγοράζειν καὶ πωλεῖν. οὐ δεῖ δὲ καὶ ἀποδημεῖν οὐδὲ πράγματος καθόλου ἄρξασθαι ἀλλὰ τῶν κατ' οἶκον πραγμάτων ἐπιμελεῖσθαι καὶ ἐπισκευάζειν.

Τῇ τετάρτῃ ἡμέρᾳ ἡ Σελήνη αὔξει μηνοειδής, καὶ φαίνει ὥρας τρεῖς. Ἄρης ἐγεννήθη.

Ἡ ἡμέρα αὕτη ἐπὶ παντὸς πράγματος εὐθεῖα, ἵππους δαμάζειν, δικασταῖς ἐντυγχάνειν. ὁ πλανητεύων <οὐ> πολλῷ χρόνῳ πλανητεύσει.τὰ γεννώμενα τρόφιμα ἔσονται καὶ πολυχρόνια. κοράσιον τὸ γεννηθὲν παραχωρισθήσεται τῶν ἰδίων γονέων. τὸ ὄναρ αὐθημερὸν <γίνεται>, καὶ ἡ γαμηθεῖσα χωρισθήσεται, καὶ πάλιν τῷ αὐτῷ

1-3 *τὸ γεννηθὲν — ἀνθρώποις* S, om. p 4 *τὸ κλαπὲν* S, *ὁμοίως τὸ κλαπὲν* p *ἀναχωρήσαν* S, *ἀναχυρῆσαν* p

5 *Τῇ τρίτῃ- ἐν ταύτῃ* S, *Ἡμέρα τρίτη τῆς Σελήνης* p 8 *ταύτῃ* S, *αὐτῇ* p 9 *αὐτῇ* S, *αὐτῇ ἐστιν · ἐν αὐτῇ γὰρ* p *πραγματείαν* S, *πρᾶγμα* p 10 *οὐ* S, om. p *ἐστιν* S, *ἔσται* p 11 *καὶ ἀπολεθὲν* S, om. p *εὑρεθήσονται* S, *οὐκ εὑρεθήσεται. ὁ ἀσθενῶν δυσκόλως ὑγιαίνει, καί, εἰ συμβῇ, ἀποτροπιασθεὶς ἀποθανει* p *κωλύεις, καὶ λύει* p *κοινωνεῖν καὶ γαμεῖν* S, *κοινωνίαν* p 12 *καὶ δανείζεσθαι καὶ ἀγοράζειν καὶ πωλεῖν* S, om. p 13 *δεῖ δὲ καὶ* S, *δεῖ δὶς* p *ἀποδημεῖν* S, *ὑποδημεῖν* p *πράγματος καθόλου* S, *οὐδὲν πρᾶγμα τὸ καθόλου* p *ἀλλὰ* S, *μόνων δὲ* p 14 *ἐπισκευάζειν* S, om. p

15 *Τῇ τετάρτῃ — ἐγεννήθη* S, *Ἡμέρα τετάρτη τῆς Σελήνης ξειμηνοειδής* p *Ἡ ἡμέρα αὕτη* S, *Αὕτη ἡ ἡμέρα* p *εὐθεῖα* S *εὔθετος* p *ἵππους* S, *εἰς ἵππους* p 19 *ὁ πλανητεύων — πλανητεύσει* S, om. p *οὐ* addendum ? 20 *ἔσονται* S, *ἔσται* p 21 *παραχωρισθήσεται* S, *παραχρήσεται* bis scriptum p — *τὸ ὄναρ αὐθημερὸν* S ; et *γίνεται* addidi ; om. p *γαμηθεῖσα] λαβοῦσα ἄνδρα* p *τῷ αὐτῷ συζευχθήσεται* S, *ζευχθήσεται* p

συζευχθήσεται· ὁ φυγὼν ταχέως εὑρεθήσεται, ὁ ἀσθενεῖν ἀρξάμενος ἀμεληθεὶς ἀποθανεῖται.

Τῇ πέμπτῃ ἡμέρᾳ ἡ Σελήνη ὑψοῦται, καὶ φαίνει ὥρας τρεῖς, οὐγγίας ἐννέα.

Αὕτη ἡ ἡμέρα παρατηρήσιμός ἐστι, καὶ μηδὲν <δεῖ> ἐν αὐτῇ ἐγχειροῦν καθόλου, ἀλλὰ τοῦ σώματος ἐπιμελεῖσθαι. μὴ ἐπιορκήσῃς, ἀλλὰ ἀπὸ ἑτέρου ὅρκον λάμβανε. ὁ ἐπιορκήσας μεγάλων κινδύνων πειρασθήσεται. καὶ σὺ φυλάξας ἐκφεύξεις. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον οὐχ εὑρεθήσονται ὁ νοσεῖν ἀρξάμενος κινδυνεύσει. τὰ γεννώμενα τρόφιμα. ἡ γαμηθεῖσα παραμένει τῷ γεγαμηκότι. τὸ ὄναρ τριήμερον.

Τῇ ἕκτῃ ἡμέρᾳ ἡ Σελήνη ἐπαίρεται, καὶ φαίνει ὥρας τέσσαρας, οὐγγίας ἕξ.

Αὕτη ἡ ἡμέρα τοῖς τοξεύουσι τε καὶ ἁλιεύουσι καλή ἐστι, τοῖς δὲ πλέειν βουλομένοις ἀνεπιτήδειος. ὁδοιπορεῖν δὲ καὶ σπείρειν δέδοται καὶ φυτεύειν καὶ σώματα ὠνεῖσθαι καὶ τετράποδα καὶ οἴνους διαχέειν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον οὐχ εὑρεθήσονται ὁ νοσῶν ταχέως ὑγιαίνει. τὰ γεννώμενα τρόφιμα. ἡ γαμηθεῖσα παραλυθήσεται. κοινωνίαν μὴ ποιήσῃς, γονικὰ μὴ παραλάβῃς. τὸ ὄναρ αὐθημερόν. τὰ γοῦν γεννώμενα, κἂν ᾖ τρόφιμα, καλὸν εἰ μὴ

---

1 *ἀσθενεῖν ἀρξάμενος* S, *ἀσθενῶν* p 2 *ἀποθανεῖται* S, *ἀποθνήσκει* p

3 *Τῇ πέμπτῃ — ἐννέα* S, *Ἡμέρα πέμπτη τῆς Σελήνης· ὑψοῦται* p 5 *Αὕτη ἡ ἡμέρα* S, *Ἡ ἡμέρα αὕτη* p *καὶ — καθόλου* S, ubi *δεῖ* addidi ; *τοῦ μηδὲν ἐγχειρεῖν τὸ καθόλον* p 6 *σώματος* S, *σώματός σου* p *ἐπιμελεῖσθαι* S, *ἐπιμελοῦ* p *μὴ* S, *μηδὲν* p 7 *ἀλλὰ — ὅρκον* S, *ἀλλὰ ἀπὸ ἑτέρου ᾖ ὅρκος* p *ὁ* S, *ὁ γὰρ* p 8 *πειρασθήσεται* S, *παρατηρηθήσεται* p *καὶ σὺ* S, *ὁ δὲ* p *ἐκφεύξεις* S, *ἐκφύγῃ* p 9 *οὐχ* S, om. p *εὑρεθήσονται* S, *εὑρεθήσεται* p *κινδυνεύει* S, *κινδυνεύσει* p 10 *τὰ — τρόφιμα* S om. p *γαμηθεῖσα* S, *λαβοῦσα ἄνδρα* p *παραμένει* S, *παραμείνει* p *γεγαμηκότι* S, *ἀνδρὶ αὐτῆς* p 11 *τὸ — τριήμερον* S, om. p

12 *Τῇ ἕκτῃ — ἕξ* S, *Ἡμέρα ς' τῆς Σελήνης· ἐπαίρεται* p 14 *Αὕτη ἡ ἡμέρα* S, *Ἡ ἡμέρα αὕτη* p *τοῖς — ἁλιεύουσι* S, *εἰς τὸ κυνηγεῖν καὶ ἁλιεύειν* p 15 *τοῖς δὲ — δέδοται* S, *πλέειν καὶ ὁδοιπορεῖν καὶ σπείρειν δέδοται* p 16 *καὶ* S, *καὶ τὰ* p 17 *διαχέειν* S, *διαχύνειν* p *οὐχ* S, om. p 18 *τὰ γεννώμενα τρόφιμα* S, om. p *γαμηθεῖσα* S, *λαβοῦσα γυνὴ* p *παραλυθήσεται* S, *ταχέως διαλυθήσεται* p 19 *γονικὰ μὴ παραλάβῃς* S, *γονικὴν μὴ π.* p ; *γονικὰ μὴ παράλυσις* a (IV, p. 143, l. 1) *τὸ ὄναρ αὐθημερὸν* S, om. p 20 *τὰ γοῦν* S, *τὰ* p *κἂν ᾖ τρόφιμα* S, om. p *καλὸν εἰ* om S, exhibet p

ἐγεννήθησαν, διότι τελευτῶσι κακῶς, ὅτι καὶ κακότροπα ἔσονται. περὶ δὲ τοῦ φυγόντος ὁ Μελάμπους (1) ἔφη ὅτι ἐντὸς ὀλίγων ἡμερῶν εὑρεθήσεται.

Τῇ ἑβδόμῃ ἡμέρᾳ ἡ Σελήνη διχοτομεῖται καὶ φαίνει ὥρας πέντε, οὐγγίας τρεῖς.

Αὕτη ἡ ἡμέρα καλὴ εἰς πᾶσαν πρᾶξιν, πρὸς πᾶσαν νίκην καὶ μαντικὴν καὶ μουσικήν, παῖδας δὲ εἰς μαθήματα παραδιδόναι, εἰς κυνηγίαν μεταίρειν, καὶ σπείρειν καὶ φυτεύειν καὶ κτήματα παραδιδόναι.τὸ γεννηθὲν ἕξει σημεῖον εἰς τὸν μαζόν, καὶ ἔσται εὐτυχές. εἰ δὲ κοράσιον, σημεῖον ἕξει εἰς τὸν ἀριστερὸν μηρόν. ὁ ἀσθενεῖν ἀρξάμενος σωθήσεται. τὸ ἀπολλύμενον οὐχ εὑρεθήσεται. ὁ φυγὼν ἐντὸς ἐννέα ἡμερῶν εὑρεθήσεται. τὸ ὄναρ μετὰ πεντήκοντα ἡμέρας ἀποβήσεται. καλόν δὲ καὶ σώματα ἀγοράζειν.

Τῇ ὀγδόῃ ἡμέρᾳ ἡ Σελήνη γαυριᾷ, καὶ φαίνει ὥρας ἕξ.

Αὕτη ἡ ἡμέρα τοῖς πλεῖν βουλομένοις ἀνεπιτήδειος, τοῖς δὲ ὁδὸν βουλομένοις ἀπαίρειν καὶ [ἐπὶ] πόλεμον ποιεῖν καὶ τοὺς ἵππους δαμάζειν ἐθέλουσι καὶ τοῖς πόλιν ἢ οἰκίαν οἰκοδομεῖν βουλομένοις καὶ τοῖς ἐπὶ στρατιὰν προσιοῦσι, καὶ τοῖς διαθήκας θέλουσι γράφειν καλὴ καὶ εὔχρηστος ἡ ἡμέρα. παῖς ἐὰν γεννηθῇ, σημεῖον ἕξει παρὰ τὸν ὀφθαλμὸν ἢ παρὰ τὸν αὐτὸν τόπον. οὗτος δὲ ἔσται γράμμασι πολλοῖς πεπαιδευμένος. κόρη ἐὰν γεννηθῇ, ἕξει ὀδόντας βεβλαμμένους,<καὶ>εἰς ἀλλοτρίαν ἐξουσίαν ἥξει, καὶ τὸν

1 κακότροπα ἔσονται S, κακότροποί εἰσιν p 2 ἔφη S, εἶπεν p
4 Τῇ ἑβδόμῃ — τρεῖς S, Ἡμέρα ζ' τῆς Σελήνης διχότομος p
7 μαντικὴν καὶ S, om. p δὲ S, τε p μαθήματα παραδιδόναι S, νουθεσίαν διδόναι p 7-9 εἰς κυνηγίαν — παραδιδόναι S, om. p per homoioteleuton 9 μαζόν — μηρόν S, ἀριστερὸν μηρόν ceteris omissis p 11 σωθήσεται S, ει ὑγιαίνειν p 11-13 ὁ φυγὼν — ἀποβήσεται S, τά γεννώμενα τρόφιμα ἔσται p
14 Τῇ ὀγδόῃ — ἕξ S, Ἡμέρα η' τῆς Σελήνης γαψυρία p 16 πλεῖν S, πλέειν p 17 ὁδὸν S, ὁδὸν τοῖς p — ἐπὶ S, delendum πόλεμον - στρατιὰν προσιοῦσι S, πολέμου στρατίαν τοῖς προσιοῦσι p
20 εὔχριστος S, εὔχρηστός ἐστιν p 21 σημεῖον ἕξει S, ἕξει σημεῖον p τὸν ὀφθαλμὸν S, ὀφθαλμοῦ p ἢ παρὰ τὸν αὐτὸν τόπον S, om. p. Leg. παρὰ τὸ μέτωπον? 22 ἔσται S, γεννήσεται p
23 καὶ om. S, exhibet p

(1) De Melampodis praesagiis cf. *Cat.* VIII, iv, p. 103.

ἴδιον ἄνδρα μεγαλύνει. ὁ φυγὼν ἐν ἀλλοτρίᾳ χώρᾳ χρονίσας εὑρεθήσεται τὸ ἀπολλύμενον πρὸς ὀλίγον κρυβήσεται, ἐξαίφνης δὲ εὑρεθήσεται ὁ ἀσθενεῖν ἀρξάμενος κινδυνεύσει, χρονίσας δὲ σωθήσεται. τὸ ὄναρ ἀψευδές.

Τῇ ἐννάτῃ ἡμέρᾳ ἡ Σελήνη περιδρομεῖ, φαίνει ὥρας ἕξ, οὐγγίας ἐννέα.

Αὕτη ἡ ἡμέρα ἐπὶ πᾶσαν πρᾶξιν πεποίηται· καλὴ γάρ ἐστι τοῖς πραγματεύεσθαι βουλομένοις καὶ τοῖς αἰτουμένοις ἀπὸ μεγάλων προσώπων καὶ τοῖς δανείζουσιν, ἢ δανείζεσθαι, καὶ σπείρειν καὶ ἀγοράζειν, μισθώσασθαι καὶ φίλους μείζονας κτᾶσθαι καὶ οἰκοδομεῖν καὶ κήπων ἐπιμέλειαν ποιεῖσθαι καὶ στρατεύεσθαι. τὰ γεννώμενα τρόφιμα. κοράσιον ἐὰν γεννηθῇ, σημεῖον ἕξει εἰς τὴν χεῖρα. αὕτη γαμήσασα μετὰ τοῦ ἀνδρὸς αὐτῆς συγκράσει. ὁ ἀσθενεῖν ἀρξάμενος καλῶς ἕξει, ὁ φυγὼν πρὸς ἐξουσιαστικὸν πρόσωπον εὑρεθήσεται ἐν τάχει. τὸ ἀπολλύμενον κρυβήσεται, καὶ οὐχ εὑρεθήσεται. τὸ ὄναρ αὐθημερὸν ἔσται.

Τῇ δεκάτῃ ἡ Σελήνη προφεύγει ἀμφίκυρτος, φαίνει ὥρας ἑπτά, οὐγγίας ἕξ.

Αὕτη ἡ ἡμέρα παρατηρήσιμος τοῖς ἀσθενεῖν ἀρξαμένοις, τοῖς διαθήκας ποιοῦσι καὶ γράφουσι, τοῖς ἀγρὸν ἐπιποιουμένοις καὶ τοῖς κατὰ βίον καταγράφουσι. καλὴ δέ ἐστι τοῖς εἰς ὁδὸν πορεύεσθαι <βουλομένοις>, παῖδας εἰς μαθήματα παραδιδόναι, οἰκίας ἀγοράζειν. τὰ γεννώμενα τρόφιμα.παῖς ὁ γεννηθεὶς σημεῖον ἕξει... τὸ κατ' ὄναρ γίνεται μετ' ἡμέρας εἴκοσι.

Τῇ ἑνδεκάτῃ ἡμέρᾳ ἡ Σελήνη κυροῦται, φαίνει ὥρας ὀκτώ, οὐγγίας τρεῖς.

Αὕτη ἡ ἡμέρα ἀγαθὴ εἰς πᾶσαν πρᾶξιν καὶ πρὸς πάντα τὰ ἐγχειρούμενα, τοῖς γαμεῖν βουλομένοις καὶ τοῖς ἐπιτροπεύειν ἐθέλουσι καὶ τετράποδα ὠνουμένοις, καὶ δαμάζειν καὶ φυτεύειν καὶ τρυγᾶν βουλομένοις. παῖς ἐὰν γεννηθῇ, σημεῖον ἕξει εἰς τὸ στόμα, ἔσται δὲ θυμαντικὸς καὶ μνήμης καλῆς. εἰ δὲ κοράσιον γεννηθῇ, ἕξει εἰς τὸ μέτωπον σημεῖον, καὶ πλουσία ἔσται. καλὸν δὲ τοῖς ἐπὶ μισθῷ πέμπουσι καὶ οἰκοδομεῖν βουλομένοις. ὁ ἀσθενεῖν ἀρ-

---

1 *μεγαλύνει* S, *μεγαλυνεῖ* p 2-3 *τὸ ἀπολλύμενον - εὑρεθήσεται* S, om. p 3-4 *χρονίσας — ἀψευδές* S, om p
9 An *δανείζεσθαι <βουλομένοις?>* 20 An *ἐπιμελουμένοις?*
25 *κυροῦται* S 31 *θυμαντικὸν* S. Leg. *Θεοῦ μαντικός?* 32 *καλή?*

ξάμενος καλῶς ἔσται · ὑγιαίνει γάρ. ὁ φυγὼν μεταγνοὺς αὐτόματος ἥξει. τὸ ἀπολλύμενον οὐχ εὑρεθήσεται. τὸ κατ' ὄναρ αὐθημερὸν ἔσται.

Τῇ δωδεκάτῃ ἡμέρᾳ ἡ Σελήνη ἐγκυκλεῖται, φαίνει ὥρας ἐννέα.

Αὕτη ἡ ἡμέρα καλή, ἁρμόζουσα εἰς πᾶσαν πραγματείαν καὶ εἰς πᾶν πρᾶγμα, τοῖς γαμεῖν ἢ κοινωνεῖν βουλομένοις καὶ τοῖς πρῶτον ἐργαστήρια ἀνοίγουσι καὶ τοῖς πλεῖν βουλομένοις καὶ τοῖς ἀποστερεῖν (?) ἢ ἐκδημεῖν ἢ χρυσοκοπεῖν, τοῖς φυτεύουσιν ἀμπέλους καὶ σῖτον ἀποτιθοῦσι. τὰ γεννώμενα τρόφιμα. ἄρρεν ἐὰν γεννηθῇ, ἔσται βιωφελές, πλούσιον εἰς τὰ ὕστερα κοράσιον ἐὰν γεννηθῇ, σημεῖον ἕξει εἰς τὸν ὀφθαλμόν. αὕτη τὴν οἰκίαν φιλήσει, καὶ φίλους καὶ ἄνδρας ἀρέσει. ὁ ἀσθενεῖν ἀρξάμενος ὑγιαίνει. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εὑρεθήσεται. τὸ κατ' ὄναρ αὐθημερὸν ἔσται.

Τῇ τρισκαιδεκάτῃ ἡμέρᾳ ἡ Σελήνη συνάπτει, φαίνει ὥρας ἐννέα, οὐγγίας ἐννέα.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀπόσχου παντοίας μάχης, μὴ κείρῃς τρίχας, μὴ πώγωνα, μὴ γένειον, μὴ κεφαλήν, μήτε πλῦναι, κυνηγεῖν τε καὶ ἡσυχάζειν, καὶ φυτεύειν ἀμπέλους. τὰ γεννώμενα τρόφιμα. ἄρρεν ἐὰν γεννηθῇ, σημεῖον ἕξει εἰς τὰ αἰδοῖα, καὶ ἔσται ἐρωτικός, λοίδωρος. εἰ δὲ κοράσιον γεννηθῇ, σημεῖον ἕξει εἰς τὸν αὐτὸν τόπον, καὶ ἔσται ἐρωτική, λοίδωρος κατὰ πάντα. γῆρας καλὸν ἕξει. ὁ ἀσθενεῖν ἀρξάμενος ἐπὶ πολὺν χρόνον νοσήσει, ἀλλὰ καλῶς ἕξει. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον εὑρεθήσονται. Μελάμπους δὲ ἔφη οὐχ εὑρεθήσονται. τὸ κατ' ὄναρ μεθ' ἡμέρας δύο γίνεται.

Τῇ τετταρακαιδεκάτῃ ἡ Σελήνη πανσέληνος, φαίνει ὥρας δέκα, οὐγγίας ἕξ.

Αὕτη ἡ ἡμέρα καλὴ εἰς ὅτ' ἂν ἐγχειρήσῃς πρᾶγμα. ποιεῖ γὰρ εἰς πραγματείαν. ἔτι δὲ καὶ πιστὴ πρὸς φιλίας καινοτέρας μεγάλων προσώπων. δεῖ δὲ ἐν αὐτῇ γαμεῖν καὶ κοινωνεῖν.<καλὴ> καὶ τοῖς δανείζειν καὶ δανείζεσθαι βουλομένοις καὶ ἀποδημεῖν. παῖς ἐὰν γεννηθῇ ἔσται τρόφιμος, ἀγαθός, παράδοξος, ὁδοιπορικός, φρόνιμος. κοράσιον ἐὰν γεννηθῇ, ἔσται φιλητή, φρόνιμος, νουνεχής, θεοσεβής, φιλόστοργος ὁ ἀσθενεῖν ἀρξάμενος ταχέως ὑγιαίνει. ὁ

---

9 Leg. *ἀποστέλλειν*? 13 Fort. *φίλοις καὶ ἀνδρί.* Leg. *ὑγιανεῖ* hic et v. 36 ? *ὃδ' ἂν* S

φυγὼν ἀπὸ φίλων εὑρεθήσεται, τὸ ἀπολλύμενον οὐχί. τὸ κατ' ὄναρ μεθ' ἡμέρας δώδεκα <γίνεται>.

Τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ ἡ Σελήνη ἀπέστραπται, φαίνει ὥρας ἕνδεκα, οὐγγίας τρεῖς.

Αὕτη ἡ ἡμέρα εἰς πάντα παρατηρήσιμος· μὴ ὀμόσῃς, μὴ ἐπιορκήσῃς. τοῖς δὲ κατ' ἀγρὸν ἐπικαλουμένοις ἢ ξύλα κόπτειν. ξύλα δὲ ἐπιτήδεια πρὸς οἰκίαν μὴ θέσῃς. πεποίηται δὲ καὶ τοῖς οἶκον λαμβάνουσιν ἢ διδόναι καὶ τοῖς σπείρειν βουλομένοις, καὶ τοῖς τετράποδα ἀγοράζειν. γάμον μὴ ζεύξῃς, μήτε πλεύσῃς. παῖς ἐὰν γεννηθῇ, σημεῖον ἕξει εἰς τὰ αἰδοῖα, ἔσται δὲ ἀκριβής, ἀληθής, ἀπαθής, καλὸν ἕξει γῆρας. εἰ δὲ κοράσιον γεννηθῇ, σημεῖον ἕξει εἰς τὴν παρθενίαν αὐτῆς. ὁ ἀσθενεῖν ἀρξάμενος πολυπλόκῳ νόσῳ περιπεσεῖ. ὁ φυγὼν εἰς ἀλλοδαπὴν χώραν εὑρεθήσεται. τὸ κατ' ὄναρ μεθ' ἡμέρας τρεῖς γίνεται.*

Τῇ ἑκκαιδεκάτῃ ἡμέρᾳ ἡ Σελήνη ἐπαίρεται, φαίνει ὥρας ιβ'.

Αὕτη ἡ ἡμέρα ἐν παντὶ πράγματι καλή, παῖδας εἰς μάθησιν διδόναι, δένδρα φυτεύειν, σώματα ἀγοράζειν καὶ πωλεῖν, κυνηγεῖν καὶ ἐμπορεύεσθαι καὶ ἐκδημεῖν, γαμεῖν τε καὶ θεμελίους τιθέναι καὶ τὰ κατ' ἀγρὸν ἐπιμελεῖσθαι.ὁ φυγὼν ὑπὸ στρατιωτῶν κατασχεθή<σεται>,τὸ ἀπολλύμενον εὑρεθήσεται. τὰ γεννώμενα τρόφιμα. ὁ ἀρξάμενος ἀσθενεῖν ὑγιαίνει. τὸ κατ' ὄναρ μεθ' ἡμέρας δώδεκα γίνεται.

Τῇ ἑπτακαιδεκάτῃ ἡμέρᾳ ἡ Σελήνη ἐπαναφέρεται ἀμφίκυρτος, φαίνει ὥρας ἕνδεκα, οὐγγίας τρεῖς.

Αὕτη ἡ ἡμέρα παρατηρήσιμος εἰς πᾶσαν πρᾶξιν, πεποίηται δὲ εἰς πᾶσαν τοῦ σώματος ἐπιμέλειαν, οἰκίαν στηρίζειν, γάμους ζεῦξαι, πλοίου τρόπιν τιθέναι, εἰς πλοῖον ἐπιβαίνειν. παιδίον ἐὰν γεννηθῇ, σημεῖον ἕξει εἰς τὰ ὦτα, ἔσται δὲ εὐγενής, εὐπαίδευτος. κοράσιον δὲ ὁμοίως τὰ αὐτά· ἔσται ἄγαθὴ τῷ ἰδίῳ ἀνδρὶ καὶ τοῖς ἰδίοις δούλοις. ὁ ἀσθενεῖν ἀρξάμενος κινδυνεύσει. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον οὐχ εὑρεθήσεται. τὸ κατ' ὄναρ αὐθημερόν <γίνεται>

---

4 *ἀπέστραπται* S, *ἐπέστραπται* n 7 Leg. *ἐπιμελουμένοις* cf. l. 21 Lacunam signavi. 14 *περιπέσει* S *χωρα* S
21 *τὸ κατ' ἀγρὸν ἐπιτελεῖσθαι* S, sed cf. p. 142, l. 30.

Τῇ ὀκτωκαιδεκάτῃ ἡμέρᾳ ἡ Σελήνη ἀσύνδετος, φαίνει ὥρας δέκα, οὐγγίας ἓξ.

Αὕτη ἡ ἡμέρα καλὴ καὶ ἁρμόζει εἰς πᾶσαν πρᾶξιν, ἀγοράζειν, πωλεῖν, συναλλάσσειν εἰς γάμον, σπείρειν, θερίζειν, φυτεύειν, τρυγᾶν, ἀποδημεῖν, δανείζειν, ἵππους δαμάζειν. τὰ γεννώμενα τρόφιμα.ὁ ἀσθενεῖν ἀρξάμενος καλῶς ἕξει. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον οὐχ εὑρεθήσονται. τὸ κατ' ὄναρ μεθ' ἡμέρας πέντε καὶ εἴκοσι γενήσεται.

Τῇ ἐννεακαιδεκάτῃ ἡμέρᾳ ἡ Σελήνη ἄχρηστος, φαίνει ὥρας ἐννέα, οὐγγίας ἐννέα.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ εἰς ὅ τ' ἂν ἐπιτύχῃς πρᾶγμα, τελειώσεις, παῖδας εἰς μάθησιν διδόναι,σώματα ὠνεῖσθαι καὶ ἐπὶ μισθῷ ἀμπέλους τρυγᾶν καὶ οἴνους διαχέειν, γαμεῖν, λαμβάνειν καὶ διδόναι. ὁ φυγὼν ἐντὸς πεντεκαίδεκα ἡμερῶν εὑρεθήσεται. τὸ ἀπολλύμενον κρυβήσεται. ὁ ἀσθενεῖν ἀρξάμενος παραλαλήσας σωθήσεται. τὰ γεννώμενα εὐτράπελα καὶ φιλητὰ καὶ εὐσταθῆ ἔσονται. τὸ κατ' ὄναρ μεθ' ἡμέρας ὀκτωκαίδεκα γενήσεται.

Τῇ εἰκοστῇ ἡμέρᾳ ἡ Σελήνη μειοῦται, φαίνει ὥρας ἐννέα.

Αὕτη ἡ ἡμέρα ἐπιτηδεία εἰς τὸ κτίζειν ὡρεῖα, τρυγᾶν, δένδρα φυτεύειν, τετράποδα ἀγοράζειν, ὁδοιπορίαν ἄρξασθαι καὶ ἐμπορεύεσθαι καὶ κοινωνῆσαι. ὁ φυγὼν μάκραν ὁδὸν πορεύσεται. τὸ ἀπολλύμενον κρυβήσεται. ὁ ἀσθενεῖν ἀρξάμενος κινδυνεύσει. τὰ γεννώμενα τρόφιμα κακοπαθῆ ἔσονται. τὸ κατ' ὄναρ ψευδές.

Τῇ πρώτῃ καὶ εἰκοστῇ ἡμέρᾳ ἡ Σελήνη διχοτομεῖται. φαίνει ὥρας ὀκτώ, οὐγγίας τρεῖς.

Αὕτη ἡ ἡμέρα παρατηρήσιμος· μὴ κοινωνεῖν, μηδὲ ἐκδικεῖν, εἰ μὴ μόνον τὰ κατ' οἶκον ἐπιμελεῖσθαι. τὰ γεννώμενα ὀλιγοχρόνια ἔσται. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον παρὰ ὑγρῷ τόπῳ εὑρεθήσεται κρυβόμενον. καὶ πρὸς τὰ καινὰ ἱμάτια χρᾶσθαι κατ' ἀρχὰς ἐπιτήδειος ἡ ἡμέρα. ὁ ἀσθενεῖν ἀρξάμενος πολὺν χρόνον νοσήσας κινδυνεύσει. τὸ κατ' ὄναρ μεθ' ἡμέρας δύο γίνεται.

Τῇ δευτέρᾳ καὶ εἰκοστῇ ἡμέρᾳ ἡ Σελήνη λειψόφωτος, φαίνει ὥρας ἑπτά, οὐγγίας ἓξ.

---

11 *ὅ δ' ἂν* S 20 *ὡρεῖα* i. e. horrea 21 *ενδοιπορία* S
25 *πρώτῃ*] *μιᾷ* S 32 *νοήσας* S

Ἐν ταύτῃ τῇ ἡμέρᾳ ὁ γεννηθεὶς ἔσται ἐπίδοξος καὶ εὐτυχής, καὶ ὃ ἐὰν ἐπιχειρήσῃ, κατάρξει. ἄρξει δὲ καὶ κριτηρίου. ἔστι δὲ ἐπιτήδειος ἡ ἡμέρα εἴς τε τὸ ἐκδημεῖν καὶ συναλλάσσειν, καὶ στρατεύεσθαι, καὶ γαμεῖν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον κρυβήσεται. τὸ κατ' ὄναρ ἀληθινὸν ἔσται.

Τῇ τρίτῃ καὶ εἰκοστῇ ἡμέρᾳ μονάζει ἡ Σελήνη, φαίνει ὥρας ς', οὐγγίας ἐννέα.

Ἐν ταύτῃ τῇ ἡμέρα σώματα ὠνεῖσθαι, καὶ εἰς πλοῦν πλεῖν καὶ ἐμπορεύεσθαι καὶ γαμεῖν καὶ κοινωνεῖν. τοῖς ἀρχήν τινα πράξεως προαιρουμένοις συμφέρει. ἀγαθὴ δὲ καὶ τοῖς ἐπὶ κυνηγίοις ἀπιοῦσι. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον οὐχ εὑρεθήσεται. ὁ Μελάμπους ἔφη· ταχέως εὑρίσκεται. τὰ γεννώμενα τρόφιμα. ὁ ἀσθενεῖν ἀρξάμενος σωθήσεται. τὸ κατ' ὄναρ ψευδές.

Τῇ τετάρτῃ καὶ εἰκοστῇ ἡμέρᾳ ἡ Σελήνη ἀφώτιστος, φαίνει ὥρας ἕξ.

*Αὕτη ἡ ἡμέρα τοῖς στρατεύεσθαι θέλουσι καὶ τοῖς ἀπὸ πυρὸς ἢ σιδήρου τὴν πραγματείαν ἔχουσιν, ἐπιτήδειος, τοῖς δὲ λοιποῖς πράγμασιν ** ἀγωνιζόμενος ἀπὸ σιδήρου τελευτήσει. ὁ ἀσθενεῖν ἀρξάμενος σωθήσεται. τὸ ἀπολλύμενον μετὰ παρεμβολῆς ἐμφανισμοῦ εὑρεθῇ. τὰ γεννώμενα θηριομαχήσουσιν <ἢ μονομαχήσουσιν> ὑπὸ σιδήρου ἀποθανοῦντες. τὸ κατ' ὄναρ ἀψευδές.*

Τῇ πέμπτῃ καὶ εἰκοστῇ ἡμέρᾳ ἡ Σελήνη φθίνει. φαίνει ὥρας ε', οὐγγίας τρεῖς

Αὕτη ἡ ἡμέρα παρατηρητικὴ καὶ δυσεπίτευκτος εἰς πᾶσαν πραγματείαν. τὰ γεννώμενα τρόφιμα καὶ εὐδιανόητα. τὸ ἀπολλύμενον κρυβήσεται. ὁ νοσεῖν ἀρξάμενος σωθήσεται.

Τῇ ἕκτῃ καὶ εἰκοστῇ ἡμέρᾳ ἡ Σελήνη ἁρπάζεται, φαίνει ὥρας τέσσαρας, οὐγγίας ἕξ.

Αὕτη ἡ ἡμέρα τοῖς ὑδραγωγίας τιθέναι βουλομένοις καὶ τοῖς πλέειν, καὶ ὁδοιπορεῖν καὶ οἰκοδομεῖν καὶ κοινωνεῖν, καὶ ὅσα τούτοις ὅμοια, ἀγαθή ἐστιν. ὁ φυγὼν ἐν κήποις εὑρεθήσεται, τὸ ἀπολλύμενον παρ' ὑγρῷ τόπῳ κρυβήσεται. ὁ ἀσθενεῖν ἀρξάμενος σωθήσεται.

---

2 *ὁ ἐὰν* S
14 *εἰκοστῇ*] *δεκάτῃ* S 18 Lacunam signavi. 21 *ἢ μονομαχήσουσιν* suppl. 30 *ὑδραγωγίαις* S

Τῇ ἑβδόμῃ καὶ εἰκοστῇ ἡμέρᾳ ἡ Σελήνη ἀφεγγής, μηνοειδής, φαίνει ὥρας τρεῖς, οὐγγίας ἐννέα.

Αὕτη ἡ ἡμέρα ἐπιτήδειος τοῖς σώματα ὠνουμένοις, ἐργασ-
τήρια κτίσαι καὶ μουσικὰ ὄργανα ὠνεῖσθαι καὶ τοῖς γαμεῖν προαι-
ρουμένοις καὶ πρὸ γάμου προῖκα τιθέναι,κοινωνεῖν. ὁ φεύγων ἐν
τρισὶν ἡμέραις εὑρεθήσεται. ὁ δὲ Μελάμπους ἐντὸς δέκα
ἡμερῶν ἔφησεν. ὁ ἀσθενεῖν ἀρξάμενος σωθήσεται. ἐὰν δέ τις ὄνει-
ρον ἴδῃ, αὐθημερὸν γίνεται.

Τῇ ὀγδόῃ καὶ εἰκοστῇ ἡμέρᾳ ἡ Σελήνη ἀσέληνος, φαίνει ὥραι τρεῖς.

*Αὕτη ἡ ἡμέρα τοῖς θέλουσιν ἐλευθερίαν ἐπιτήδειος. **ἄρχεται ἐ-*
πιτελεῖν πράγματα,ἀγοράζειν. ὁ φυγὼν καὶ ὁ ἀσθενεῖν ἀρξάμενος
σωθήσεται. τὰ γεννώμενα τρόφιμα. τὸ ὄναρ αὐθημερὸν γίνεται.

Τῇ ἐννάτῃ καὶ εἰκοστῇ ἡμέρᾳ ἡ Σελήνη συνοδεύει, φαίνει ὥρας δύο, οὐγγίας τρεῖς.

Αὕτη ἡ ἡμέρα τοῖς ἐλευθερίαν ποιοῦσιν ἢ τέχνας μανθάνουσιν ἢ
παραδίδουσιν, ἢ σώματα ἀγοράζειν ἢ συμμαχίας προαιρουμέ-
νοις, καὶ ἅπαν ἔργον ἄρξασθαι καὶ τοῖς ἱπποτροφεῖν καὶ τετράποδα
δαμάζειν ἀγαθή. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον ἐξαίφνης εὑρεθή-
σονται. ὁ ἀσθενεῖν ἀρξάμενος ὑγιαίνει. τὰ γεννώμενα παράβουλα.
τὸ κατ' ὄναρ αὐθημερὸν γίνεται.

Τῇ τριακοστῇ ἡμέρᾳ ἡ Σελήνη ἀφώτιστος, φαίνει ὥραν μίαν, οὐγγίας ἕξ.

Αὕτη ἡ ἡμέρα καλὴ εἰς πάντα τὰ ἐπιτηδεύματα, θησαυροὺς
κατατίθεσθαι, γαμεῖν, κοινωνεῖν, πωλεῖν, ἀγοράζειν, εἰρηνεύειν,
φυτεύειν. ὁ φυγὼν καὶ τὸ ἀπολλύμενον κρυβήσονται. τὰ γεννώ-
μενα τρόφιμα καὶ εὔχρηστα ἔσονται. ὁ ἀσθενεῖν ἀρξάμενος σω-
θήσεται. τὸ κατ' ὄναρ αὐθημερὸν ἔσται.

---

2 *β' φαίνει ὥρας γ'* S 4 *σώματι* S
12 Lacunam signavi.
19 *ἱπποτροφεῖν*] *ὑπὸ τροφὴν* S
23 *Τῇ τριακοστῇ — ἕξ* S, *Ἡμέρα πθ' τῆς Σελήνης παροχεύει* p
εἰς — ἐπιτηδεύματα S, *εἰς πᾶν ἐπιτήδευμα καὶ ἐγχείρημα* p
27 *ὁ φυγὼν κρυβήσονται* S, om. p 28 *ὁ ἀσθενεῖν κτλ.* S, om. p

F. 161. — *Βροντολόγιον ἕτερον.*

Μηνὶ Σεπτεμβρίῳ. Ἐὰν βροντήσῃ, πολέμους καὶ σφαγὰς δηλοῖ προσαλλήλους. εἰ δὲ σεισμὸς γένηται, χαρὰ πολλὴ καὶ εὐφορία ἀγαθοσύνης.

Μηνὶ Ὀκτωβρίῳ. Ἐὰν βροντήσῃ, λοιμὸν καὶ ἀλληλοσφαγίαν δηλοῖ. εἰ δὲ σεισμὸς γένηται, θανάτους ἀπειλεῖ.

Μηνὶ Νοεμβρίῳ. Ἐὰν βροντήσῃ, ἀγῶνα καὶ σάλον ἐν ἐκείνῃ τῇ χώρᾳ σημαίνει. εἰ δὲ σεισμὸς γένηται,ποιμνίων καταφθορὰν ἀπειλεῖ.

Μηνὶ Δεκεμβρίῳ. Ἐὰν βροντήσῃ, ὄμβρους σημαίνει. εἰ δὲ σεισμὸς γένηται, οἱαδήποτε χώρα λιμῷ θανεῖται.

Μηνὶ Ἰανουαρίῳ. Ἐὰν βροντήσῃ, πόλεμον δηλοῖ. εἰ δὲ σεισμὸς γένηται, τὸ αὐτὸ σημαίνει.

Μηνὶ Φεβρουαρίῳ. Ἐὰν βροντήσῃ, σίτου φθορὰν κατὰ τόπον δηλοῖ. εἰ δὲ σεισμὸς γένηται, νοσήματα πολλὰ σημαίνει.

Μηνὶ Μαρτίῳ. Ἐὰν βροντήσῃ, σίτου φθορὰν κατὰ τόπους σημαίνει. εἰ δὲ σεισμὸς γένηται, καύματα μέγιστα καὶ συνοχὰς δηλοῖ.

Μηνὶ Μαΐῳ. Ἐὰν βροντήσῃ, νόσους ἀνθρώποις δηλοῖ. εἰ δὲ σεισμὸς γένηται, ταράσσεται οἱαδήποτε χώρα.

Μηνὶ Ἰουνίῳ Ἐὰν βροντήσῃ, ἄνεμοι ποικίλοι πνεύ-

Non consentit cum *Cat.*III, 3 (1, f.16) ; 3 (1, f. 17ᵛ) ; non consentit cum *Geopon.* I cap. 10, p. 19. — Cf. *Cat.* IV, p. 170-2 (e cod. 20, f. 123ᵛ ; ibid. p. 64) : hoc Scorialensis codicis Brontologion in brevius redactum est ; in aliis consentit cum Neapol., in aliis toto caelo a Neapol. dissentit ; mensium ordo prorsus diversus. Vd. *Cat.* VII, 60 (26, f. 163).

2 Vd. *Cat.* IV, p. 171, l. 11., ibid., l. 12, ubi plane contraria legimus ; cf. igitur ibid., l. 24 5 ibid., l. 19, ubi *λοιμὸν* deest. *θανάτους ἀπειλεῖ*, plane contraria ibid. l. 24 ; (cf. ibid. l. 17. — ibid. l. 25 8 ibid. l. 31. — ibid. l. 32 (non consentit) et p. 172, l. 1 (non consentit). 12 ibid., p. 172, l. 3 (non consentit, sed confer p. 171, l. 32). Menses Febr. et Mart. desunt in Neapol. — 17 *καύματα — συνοχὰς* mensi April. tribuit Neapolitanus, ibid. p. 170, l. 7. *κάματα* Scorial. ; *νόσους* ibid. l. 8 *ταράσσεται*, nihil de his in Neapol. 21 ibid., l. 14

σουσιν. εἰ δὲ σεισμὸς γένηται, ἀπομεριμοὶ ἐλλογίμων ἀνδρῶν.

Μηνὶ Ἰουλίῳ. Ἐὰν βροντήσῃ, σίτου καὶ τῶν ἄλλων καρπῶν φθορὰν σημαίνει. εἰ δὲ σεισμὸς γένηται, σοφοὶ ἀπολοῦνται.

Μηνὶ Αὐγούστῳ. Ἐὰν βροντήσῃ, φίλων καὶ ἐχθρῶν καὶ καλῶν ἀπώλεια. εἰ δὲ σεισμὸς γένηται, πολλῶν νοσημάτων συμφορὰς δηλοῖ

Laurentii Lydi capita quinque mutila nunc suppleta.

F. 161. *Περὶ σεληνιακῶν ἐπιτηρήσεων.*

Οἱ δεισιδαιμονίαις τισὶν ἀναδεδεμένοι — αὗται γὰρ καὶ ῥελεγίωνες παρ' Ἰταλοῖς καλοῦνται παρὰ τὸ ἀναδεσμεῖν ἀκτῆρος δίκην τοὺς πιεζομένους — οὐ τἀληθὲς σκοπεῖν φιλοῦσι, κἂν εἰ τυχὸν παρὰ τοῖς μὴ ταὐτὰ αὐτοῖς δοξάζουσιν ᾖ, ἀλλ' ἔχειν νόμον συνεκτικὸν τῆς ἐκείνων δόξης ὑπολαμβάνουσι τὸ μάχεσθαι εἰκῇ πρὸς τοὺς ἐναντίους. καὶ — τὸ δὴ σχετλιώτερον — ἴσως καὶ αὐτοὶ συναισθανόμενοι τῆς αὐτῶν πλάνης εὐσεβεῖν ὅμως νομίζουσιν, εἰ καὶ ψευδόμενοι ταῖς οἰκείαις συμμαχοῖεν πλάναις. οὐδὲ γὰρ ἐπίστανται τὴν φύσιν τῶν εἰκῇ διαβαλλομένων αὐτοῖς, φάσκοντες ὡς ψευδὴς καὶ διάφωνος <τοῖς παλαιοῖς>ἡ περὶ διοσημειῶν ἐξη-

---

Cf. Lyd. *De Ostent.* ed. Wachsmuth (ed. secund. p. 46 sqq.) — C = cod. Caseolinus, Bibl. Nation. Paris. suppl. gr. 257 ; T = cod. Bibl. Nation. Paris. suppl. gr. 20. — W = Wachsmuth. H = Hase ; vd. Wachsmuthii editionem ; S = Scorial. I. R. 14.

1 *ἀπορισμοι* S c o r i a l) cf. ibid. l. 20. 2 ibid. l. 21 3 ibid. p. 171, l. 2. 5 ibid. l. 3 (non plane consentit) 17 ibid., l. 0.

8 *σεληνιακαὶ ἐπιτηρήσεις Ἰωάννου Λυδοῦ τοῦ Λαυρεντίου* T

9 *αὗται* S, *ταύτη* T *ῥελεγίονες* S, *ῥεγελιῶνες* et marg. *ῥελεγιῶνες* T 10 *ἀκτῆρος* S, *ἀγκεῖρος* et marg.*ἀγκύρας* T Non est in lexicis *ἀκτήρ*=funis ad ligandum et agendum et trahendum idoneus.

11 *πιεζομένους* S, *πίπτοντας* T *οὐ τἀληθὲς* S, *οὔτ' ἀληθὲς* T ; emend. Wünsch., *Byz. Zeitschr.* V, 410. 12 *τὰ αὐτὰ δοξάζουσιν ἢ αὐτοῖς* T — *ἔχειν* T, *ἔχει* S 13 *τῆς ἐ.* T, *τοῖς ἐ.* S 14 *πρὸς τοὺς ἐναντίους εἰκῇ* T *τὸ δὴ* ST, *τόδε* Wunsch 15 *εὐσεβεῖν* S, *εὐσεβεῖς* T, *εὐσεβὲς* Wunsch 16 *οὐδὲ* S, *οὐ* T 18 *τοῖς παλαιοῖς* non exhibet S

ρεύνηται θεωρία. καὶ συγγνώμης αὐτοῖς μεταδοτέον. οὔπω μᾶλλον ἀκηκόασιν ὡς ὁ πλανώμενος οὐρανὸς διείληφε σφαίρας ἑπτὰ καὶ μέτροις δημιουργικοῖς συμπληροῦται τοῖς τῆς ἑβδομάδος καὶ πλήθους μετέχει καὶ γεννᾷ πλῆθος, πολυειδῶς δὲ κεκίνηται καὶ τὴν ἐναντίωσιν ἔχει εἰς τὸ ἓν συνερχομένην, ὡς Ἀριστοτέλης ἔδειξε. φησὶ γάρ· « πολλὰς φοράς — ἵνα τοῖς ἐκείνου χρησώμεθα ῥήμασιν — ἀνισάζει ἡ φύσις καὶ ποιεῖ τινα τάξιν, τῇ μὲν μιᾷ <φορᾷ> πολλὰ ἀποδοῦσα σώματα, τῷ δὲ ἑνὶ σώματι πολλὰς φοράς. » ἡ γὰρ κίνησις αὐτῶν ἀντιφέρεται τῇ ἁπλανεῖ· γεννητικὴ γὰρ ἂν εἴη οὕτως καὶ ποιητικὴ καὶ γόνιμος· ἀεὶ δὲ ἀντιφέρεται ἀειγενεσίαν τῷ παντὶ παρέχουσα, καὶ ὅσα ἁπλῶς ἐν τῷ περὶ γενέσεως καὶ φθορᾶς ὁ φιλόσοφος ἀναφέρει. ὥστε ἀνάγκη πᾶσα τῶν ὑπὸ Σελήνην πάντων μὴ μίαν, μηδὲ τὴν αὐτὴν εἶναι φύσιν. εἰ γὰρ ἀρχὴ γενέσεως καὶ φθορᾶς Σελήνη, μὴ ἀεὶ ὡσαύτως θεωρεῖσθαι τὰ ὑπ' αὐτὴν φυόμενα ἢ συμβαίνοντα. εἰ γὰρ ἔκκεντρος παρὰ τοὺς ἄλλους ἐστὶ τῶν πλανωμένων αὕτη, λοξῶς καὶ οὐ πρὸς ὀξὺ τὰ τῶν ἀποτελεσμάτων γίνεται. οἱ μὲν γὰρ κατὰ τοὺς διαπλόκους πόλους τὴν ἐπὶ ταῖς διοσημείαις μαντείαν ἀπευθύνουσιν, ἄλλοι κατὰ τὰς ἐπιτολὰς ἢ κατὰ τὰς φάσεις· καὶ οὗτοι μὲν πρὸς τὰ ζῴδια τὸν Ἥλιον ἐπιτηρήσαντες, ἐκεῖνοι δὲ τὰς σεληνιακὰς συνόδους καὶ

---

1 ἐξηρεύνηται θεωρία S, ἐξηρεύνεται T, ἐξερεύνη σις W 1-10 οὔπω μᾶλλον — ἀειγενεσίαν unus exhibet S 5 Arist. De caelo, II. 12 p. 293 a 2 6 φοράς Arist., σφαίρας S 7 ἀνισάζει Arist., ἵνα ἰσάζῃ S φορᾷ ex Arist. suppl. 8 φοράς Arist., σφαίρας S 9 ἀντεφέρεται S 10 ἀεὶ γεννεσίαν S, ...>ίαν τῷ παν<.....>έχουσ<.....>πλῶς <...> τῷ περ<.> γενέσ<.....>φθ<.....> C 12<.....>φ<.....>άγκη π<.>σα τῶν ὑπὸ σ<.....>ην πάντων <..> μίαν <.>ηδὲ τὴν αὐτὴν C De gen. et corr. II 10 ; cf. Simplic. De caelo, p. 156, 20 Heiberg. 14 σελήνη, μὴ ἀεὶ S, σε<λήνη, εἰκός ἐστι> μὴ ἀεὶ H ; Aristotelis verba laudantur hic indirecte, sc. in oratione obliqua ἀεὶ ὡσαύτως S, ἀεὶ <..> αὐτως C 15 ὑπ' αὐτὴν φ. ἢ συμβαίνοντα S, ὑπ' <..> τὴν φυ<.....>ντα C ; σύμπαντα supplevit W ἔκκεντρος π. τ. ἄλλους S, ἐκκ<.....>ος παρὰ τ<.....> C 20 τῶν πλανωμένων S, <.>ῶν <.>λανωμένων C αὕτη C, αὐτῇ S ὀξὺ τὰ τῶν C ὀξύτατον S 17 ἀποτελεσμα<.>ων C διαπλόκο<..> C πόλους τὴν ἐπὶ ταῖς διοσημείαις S, πόλους <.....>διοσημείαις C 18 μαντείαν C, μαντείας S ἀπευθύνουσ <.....>λ<.....>τὰς<.....>λὰς C, sed ἐπιστολὰς exhibet S 19 φάσεις C, φαύσεις S — πρὸς τ. ζ. τ. ἥ. ἐπιτηρήσαντες S, πρ<.....>ώδια τὸν ἥλι<...>πιτηρήσαντες C 20 τὰς σεληνιακὰς S, τ<.....>κὰς S 21 καὶ ἀποστάσεις S, <.....>στάσεις C

ἀποστάσεις, ἄλλοι κατὰ φυσικάς τινας ἐπιτηρήσεις. κῆρυξ δὲ τῶν ἀπορρήτων ἡ φύσις. ὥστε οὖν οὐκ ἔξω φρενοβλαβείας μέμφονται ταῖς μεθόδοις, δι' ὧν τοῦ μέλλοντος στοχάζεσθαι εἰσαγόμεθα. οὐδὲ γὰρ περὶ τὴν τῶν ἄστρων θεωρίαν ἀπασχολοῦν ἔξω θεοσέβειας ποιεῖ, ἀλλ' ἔτι μᾶλλον τὴν πάνσοφον ἔστι διὰ τῶν ἔργων αὐτῶν θεωρῆσαι πρόνοιαν τοῦ πάντων ἀρρήτου πατρὸς καὶ θαυμάσαι ψυχὴν ἀνθρώπων δύνασθαι, ἡγουμένου Θεοῦ, περὶ τῶν οὐρανίων ὡς δυνατὸν διαλέγεσθαι, ὥστε μετὰ τὰς ἐκ διαφόρων συνειλεγμένας δόξας καὶ τὰς ἐξ ὁμαλοῦ τοῖς παλαιοῖς γραφείσας ὑποθήσομεν ἐκ τῶν περὶ τὴν Σελήνην σχημάτων κατὰ τὰ ζῴδια τὴν θεωρίαν λαμβάνοντες.

Αἰγοκέρωτι. Ἰανουαρίῳ. (1) *Εἰ κατὰ διχομηνίαν ἡ Σελήνη ἀμυδρὰ φανῇ, εὐθηνία ἔσται. εἰ δὲ ἐν τῇ δευτέρᾳ φυλακῇ ὁμοίως ἀμυδρὰ φανῇ, ἔφοδον πολεμίων ἀπειλεῖ. εἰ δὲ τὰς κεραίας*

---

1 κατὰ τὰς φυσικάς τινας S, κατὰ φυσικ <....>νας C 1-2 κῆρυξ δὲ τῶν ἀπορρήτων S, κῆ <.....>ν C ὥστε οὖν οὐκ ἔξω S, ὥσ<.....>ξω C 2 φρενοβλαβείας C, φρενοβλαβίας S 2-3 μέμφονται ταῖς μεθόδοις S, <.....>ται<.....>δοις C μέλλοντος στοχάζεσθαι εἰσαγόμεθα S, μ<.....>εσθαι εἰσαγό<....> C 4 γὰρ S, <..> C, τὸ H τῶν ἄστρων θεωρίαν ἀποσχολοῦν S, τ<.....>πασχολοῦν C, ἀπασχολοῦν H, διασχολεῖν W 4-5 ἔξω θεοσέβειαν ποιεῖ S <.....>είας <...>εῖ C 5 ἔτι C, ἐστὶ S πάνσοφον S <.....>φον C τῶν ἔργων S, <.....ων C 6 τοῦ πάντων S, τ<.....>ων C πατρὸς καὶ θαυμάσαι ψυχὴν S, <....>ὸς <....>αυμάσ<.....>χὴν C, τὴν ψυχὴν H 7 θεοῦ περὶ S, θεο<....> περὶ C, θεοῦ καὶ περὶ H 8 διαλέγεσθαι, ὥστε μετὰ S, διαλέγ<.....>τα μὲν οὖν Φούλβιός φ<.....>ων τοῦ Νουμᾶ ί<.....>ὲ μετὰ C 8-9 τὰς ἐκ διαφόρων συνειλεγμένας S, <.....>φόρων συνειλιγμένας C 9 καὶ ταῖς ἐξ ὁμαλοῦ τοῖς παλαιοῖς γραφείσας S, <.....>μαλοῦ τοῖς πα <.....>είσας C 10 τὴν σελήνην σχημάτων S, <..>λήνης σχηματι <....> C κατὰ τὰ ζῴδια S, <.....>ώδια C

12 Αἰγοκέρωτ<ι> S, <.....> αἰγόκερῳ C, Σελήνη <ἐν> αἰγόκερῳ HW, sed ἐν addidit W Ἰαννουαρίῳ S, non exhibet C 12-13 Εἰ κ. δ. ἡ σελήνη S, <.....>νη C 13-14 εἰ δὲ ἐν τ. δ. φ. ὁμοίως S, <.....>ίως C 14 φανῇ S, φαίνηται C

---

(1) Cum ostentis quae sequuntur cf. ea quae *Cat.* VIII, III, p. 180 ss. edita sunt. De Lydi lunarii origine egerunt Bezold et Boll, *Reflexe astrolog. Keilinschriften* (Sitzungsb. Akad. Heidelberg, II, 1911), pp. 5-7.

συναγάγῃ, εὐετηρίας τεκμήριον. εἰ δὲ σάλος γένηται, πτῶσιν κλεινῶν ἀνδρῶν ἀπειλεῖ. εἰ δὲ ἄστρον διαδράμῃ, ἀπώλειαν ἀνθρώπων σημαίνει. εἰ δὲ ὁμίχλη γένηται, χάλαζα πεσεῖται. εἰ δὲ ἄνεμοι βιαιότερον πνεύσωσιν, ἐφόδους πολεμίων φράζουσιν.

Ὑδροχόῳ. Φεβρουαρίῳ. Εἰ κατὰ τὴν πρώτην ἢ δευτέραν φυλακὴν ἡ Σελήνη ἀμυδρὰ φαίνεται, πόλεμος ἔσται. εἰ δὲ κατὰ τὴν ἑωθινήν, εἰρήνην μεταλήψεσθαι τῶν ἐπιτηδείων δηλοῖ. εἰ δὲ σεισμὸς ἢ ἦχος ἐκ τοῦ οὐρανοῦ γένηται, νόσους σημαίνει. εἰ δὲ ὁμίχλη γένηται, σίτου καὶ οἴνου δαψίλειαν δηλοῖ. εἰ δὲ παρ' ὅλον τὸν μῆνα ἐπιτείνουσι πνεύματα, ὑετὸς ἥξει, <εἰ δὲ Ἔσπερος ἐν τῇ Σελήνῃ εἰσέλθῃ> ἴδιοι ἰδίοις ἐπιβουλεύσουσιν. εἰ δὲ δόξει ἐκλείπειν ἡ Σελήνη, ἐλάττωσιν Ῥωμαίοις ἀπειλεῖ. εἰ δὲ αἱ κεραῖαι τῆς Σελήνης συνέλθωσι, σίτου ἀφθονία ἔσται. εἰ δὲ ἄστρον ἐκτρέχον ἐπὶ τὸν οὐρανὸν αὐλίζει, κίνδυνον τοῖς παραλίοις ἀπειλεῖ.

Ἰχθύσιν. Μαρτίῳ. Εἰ ὁ Ἥλιος φαύλως ἐκλάμπειν δόξει, φθορὰ ἔσται ἀνθρώπων. εἰ ἐν τῇ πρώτῃ φυλακῇ ἡ Σελήνη τὰς κεραίας συνάγει, εἰρήνη ἔσται. εἰ δὲ σεισμὸς γένηται, ἀπορίαν σημαίνει τοῖς συναλλάγμασιν. ἐὰν ἄστρον ἐν ἡμέρᾳ φανῇ, ἀνάγκη

1 *εἰ δὲ τ. κ. σ. εὐ. τεκμήριον* S, *εἰ*<.....>*ας τεκμήριον*, non supplev HW. *εἰ δὲ σ. γ. π. κ. ἀ. ἀπειλεῖ* S, *εἰ δὲ* <.....>*πειλεῖ* C, sed *κλειῶν* non *κλεινῶν* exhibet S 2 *διαδράμῃ, ἀ. ἀρ σ. εἰ δὲ ὁμίχλη* S, *διαδρά*<.....>*χλη* C 3 *πεσεῖται ἐ. δ. ἀ. βιαιότερον πνεύσωσιν* S, <.....>*πν*<....>*σιν* C, sed *πνεύσουσιν* exhibet S, et credo C ; *πνεύσωσιν* scripsit W 4 *φράζουσιν* S, [.....] C.

5 *Ὑδροχόῳ* S, <.....>*χόῳ* C, *Σελήνη* <*ἐν*>*ὑδροχόῳ* HW, sed *ἐν* addidit W *Φεβρουαρίῳ* non exhibet C *εἰ κατὰ τ. π. ἢ δ. φυλακὴν* S, <.....>*ακὴν* C 6 *φαίνεται* S, *φαίνοιτο* 7 *τὴν ἑωθινὴν* S, *τὴν* <.....>*νὴν* C *μεταλήψεται* S, *μετ*<.....>*ψεως* C, sc. *μετὰ ἐκλείψεως* *ἐπιτηδείων* S, *ἐπι*<...>*είων* C 9 *καὶ οἴνου* S, *κα*<..>*ίνου* C 10 *ὑετὸς ἥξει, ἴδιοι ἰδίοις* S, <..>*τὸς ἢ* <.....> *Ἔσπερος ἐν τῇ σελήνῃ εἰσέλθῃ*| <.....>*δίοις* C ; Scorialensis textus hiare videtur 11 *ἐπιβουλεύσουσιν* S, *ἐπ* <.....>*υσιν* C *δόξει* S, *δ*<..>*η* C 12 *ἐλαττωσιν Ῥ. εἰ δ. αἱ κεραῖαι* om. C. 14 *οὐρανὸν* S, <..>*ρανὸν* C *αὐλίζει* S, *αὐλακίζει* C 16 *Ἰχθύσιν*, S *Σελήνη* <*ἐν*> *Ἰχθύσιν* C, sed *ἐν* addidit W *Μαρτίῳ* non exhibet C *φαύλους* S, *φαυλος* C *δόξῃ* C 17 *εἰ ἐν* S <....> *ἐν* C, *εἰ δὲ ἐν* HW 18 *συνάγῃ* C *ἔσται* S, <.....> C — *σεισμὸς* S, *σ*<...>*μὸς* C 19*ἐὰν ἄστρον* S, *ἐα*<.>*ἄστρον* C

τὰ κοινὰ περιστήσεται. ἐὰν κεραυνὸς εἰς τὴν γῆν πέσῃ, σινήσει τοῖς καρποῖς.

Κ ρ ι ῷ. ᾽Α π ρ ι λ λ ί ῳ. Εἰ ἡ Σελήνη ταραχώδης φαίνοιτο, πόλεμος ἔσται καὶ ἐπανάστασις. εἰ δὲ κατὰ τὴν δευτέραν φυλακὴν ἡ Σελήνη αἱματώδης φαίνεται, σῖτος ἔσται ἀφθονώτατος. ἐὰν ὁ Ἕσπερος ἐγγίζῃ τῇ Σελήνῃ, πόλεις πόλεσι συρραγήσονται καὶ λιμὸς ἔσται. εἰ νυκτὸς πρηστὴρ κατενεχθείῃ, ὁ βασιλεὺς τοῖς ἑαυτοῦ ἐπιβουλεύσει. εἰ δὲ σεισμὸς γένηται, ἔνδειαν σίτου σημαίνει. εἰ δὲ ἦχος ἐκ τοῦ οὐρανοῦ γένηται, οἱ τῆς Εὐρώπης τοῖς τῆς ἄνω ᾽Ασίας πολεμήσουσιν. ἐὰν ἡ ἀριστερὰ κεραία τῆς Σελήνης δόξῃ ὑπερβάλλειν τὴν ἄλλην, αὐχμὸς ἔσται καὶ σίτου ἀπορία. ἐὰν ἐν ἡμέρᾳ ἀστὴρ φανῇ, φθόρος ἔσται πολύς. εἰ δὲ ἄνεμοι τὸν μῆνα πνέωσιν, ἀπορία ἔσται κτηνῶν.

Τ α ύ ρ ῳ. Μ α ί ῳ. Εἰ ἐκλείπει ὁ Ἥλιος, ἐρήμωσιν ἀπειλεῖ τοῖς κοινοῖς. εἰ ἡ Σελήνη ἐπὶ τῆς δευτέρας φυλακῆς ταραχώδης φανῇ, φθορὰ ἀνθρώπων ἔσται. εἰ ἡ Σελήνη ἐξ ἴσου τὰς κεραίας ἀνίσχουσα ἔχει, θόρυβον τῇ βασιλείᾳ ἀπειλεῖ. εἰ δὲ κατὰ τὴν κεραίαν ἐξέχει,

---

1 *περιστήσεται* S, *περ*<.....>*αι* C *κεραυνὸς εἰς τὴν γῆν πέσῃ, σινήσει* S, <..>*ραυνὸς* <...>*γῆν* <.....>*αῦλα τῶν κακ*<... ...> *ὁμί*<..... > *γῆν πέσῃ συνοίσει*, ubi *παῦλα τῶν κακῶν. ἐὰν ὁμίχλη εἰς τὴν γῆν πέσῃ* HW ; S c o r i a l e n s i s textus per «homoiote leuton» hiare videtur

3 *Κ ρ ι ῷ ᾽Α π ρ ι λ λ ί ῳ* S, <.....> C, *Σελήνη ἐν Κριῷ* HW — *ταραχώδης* S, *ταρ*<...>*δης* C *φαίνοιτο* S, *φανῆται* C, *φανῇ* Hercher 4 *πόλεμος* S, *πόλεμοι* C *ἐπανάστασις* S, *ἐπ*<.....> C *δευτέραν* S, < >*τέραν* C 5 *αἱματώδης φαίνεται σῖτος* S, *αἱματώδ*<.....> *σῖτος* C, ubi *φανῇ* HW 6 *σελήνη π. π. συρραγήσονται* S, *σελ*<.....>*λεις π*<.....>*ραγήσονται* C 7 *κατ*<..>*εχεθείη* C *βασιλ*<.....> *ἑαυτοῦ* C, omisso *ὁ* 8 *γένηται* S, *γ*<.....> C *σίτου σημαίνει* S, *σί*<.....>*μαίνει* C 9 *οἱ τῆς* S, *γ*<.....> C *τοῖς τῆς* C, *τῆς τῆς* S 10 *ἀριστερὰ κεραία* S, *ἀ*<.....> C 11 *ἄλλην, αὐχ. ἐ. κ. σίτου* S, *ἄλλ*᾽ <.....>C ; non *φθόρος* sed *φθόνος* exhibet S ; igitur *φόνος* vel *φθόρος* 12 *ἀστὴρ φανῇ φ. ἐ. π. εἰ δ. ἄνεμοι* S, *πρώτη τῆς φων* <.....>*νέμοι* C 13 *πνείωσιν* S *καταπν* <.....> C *ἀπορία ἔσται κτηνῶν* deest in C

14 *Τ α ύ ρ ῳ* S, *Σελήνη ἐν Ταύρῳ* C *Μαίῳ* non exhibet C *ὁ* om C *ἀπειλεῖ τ. κ. εἰ ἡ σελήνη* S, *ἀπ*<.....> C, sed *ἀνθρώποις*, non *κοινοῖς*, suppl HW 15 *ταραχώδης φ. φ. ἀνθρώπων* S, *τα* <.....> C 16 *κεραίας ἀ. ἔ. θόρυβον* S, *κε*<.....> C *κατὰ τὴν κ. ἐ. θόρυβοι* S, *κατ*<....>*μί*<.....>*ρυβοι* C, sed *κατὰ τὴν μίαν μόνον ἐξέχῃ* suppl.HW

θόρυβοι ἔσονται καὶ φυγαί. εἰ δὲ σεισμὸς γένηται ἀπὸ τῆς πρώτης τοῦ Μαΐου ἕως δωδεκάτης, ἀφαίρεσιν τῆς ἀρχῆς τῷ ἡγουμένῳ τοῦ τόπου, ἐφ' οὗ γένηται, καὶ φόβον οὐκ ἀκίνδυνον ἀπειλεῖ. εἰ δὲ ἀπὸ δωδεκάτης γένηται, οὐ μόνον ἀποκινεῖται ὁ ἐπιτροπεύων τὸ ἔθνος, ἀλλὰ καὶ ἀπόλλυται. καθολικῶς δὲ ὅποι δ' ἂν σεισμὸς ἀπὸ δεκάτης ἕως τριακοστῆς τοῦ μηνὸς συμβῇ, θορύβους καὶ πολέμους ἀπειλεῖ.εἰ ἀπὸ πρώτης φυλακῆς τῆς νυκτὸς ἕως ἕκτης σεισμὸς γένηται, πολέμου ἐθνικοῦ κίνησις ἔσται, ὁ δὲ ἡγούμενος τοῦ κινήματος ἀναιρεθήσεται.

Διδύμοις. Ἰουνίῳ. Εἰ ἔκλειψις γένηται ἡλιακή, μεταβολὴ ἔσται καὶ ἐπὶ τῶν πραγμάτων ἕτεροι ἔσονται. εἰ δὲ τυχὸν ἐπὶ τῆς πρώτης φυλακῆς ἐκλείπει ἡ Σελήνη,ἀκρίδες γενήσονται. εἰ δὲ ταραχώδης φανῇ, πόλεις πρὸς πόλεις καταφεύξονται. ἐὰν ὁ τῆς Ἀφροδίτης ἀστὴρ ταραχώδης γένηται, ἀνθρώπων φθορὰ ἔσται. ἐὰν νυκτὸς ἀστὴρ πέσῃ, κακὸν σημεῖον, ὥσπερ εἰ ἐν ἡμέρᾳ ὀφθῇ. ἐὰν πρηστὴρ πέσῃ, θόρυβος ἔσται ταῖς πόλεσι ταῖς πρὸς ἀνατολήν. εἰ σεισμὸς γένηται, χάσματα τοπικὰ ἔσται. ἐὰν ὁμίχλη πυκνωθεῖσα εἰς γῆν πέσῃ, σῖτος ἔσται πολύς. εἰ ὁ Ἥλιος αἱματώδης γένηται , ἀποβολὴ ἔσται ἀνθρώπων. ἐὰν πνεῦμα ἐξαίσιον πνεύσῃ ἐπὶ ἑπτὰ ἡμέρας, σῖτος ἔσται πολύς. ἐὰν ἀπὸ νεομηνίας ἕως ἐννάτης τοῦ μηνὸς τούτου σεισμὸς γένηται, φθορὰν ἀνθρώπων ἀπειλεῖ. ἐὰν δὲ ἀπὸ τῆς ἐννάτης ἕως ιθ' σεισμὸς γένηται,ὁ κρατῶν τῶν πραγμάτων κάκιστα διαγενήσεται, ἔσται δὲ καὶ λοιμὸς τοῖς κτήνεσι καὶ ὕδατος λεῖψις. εἰ ἀπὸ εἰκάδος σεισμὸς γένηται, ταπείνωσιν τοῖς διὰ λόγων ἀπειλεῖ, τῷ δὲ τόπῳ ἐναλλαγὴν ἄρχοντος. εἰ ἀπὸ κε' ἕως τριακοντάδος σεισμὸς γένηται, χειμῶνας μεγάλους σημαίνει, καὶ πόλεμος ἔσται καὶ ἀπόπτωσις ἄρχοντος κλεινοῦ.

---

1 *σεισμὸς γ. ἀ. τ. π. τοῦ* S, *σει<.....>* C *Μαΐου* SC, *μηνὸς* W
3 *γένηται* SC, *γενήσεται* Hercher. 4 *μόνον οὐκ* SC
6 *τοῦδε τοῦ μηνός* C 7 *ἀπειλεῖ* S, *ἀποτελεῖ* C *τῆς νυκτὸς* non exhibet C
10 *Διδύμοις* S, *Σελήνη <ἐν> Διδύμοις* C, sed *ἐν* addidit W *Ἰουνίῳ* non exhibet C 11 *ἕτεροι* S, *<..>τεροι* C *τυχὸν ἐπὶ* S, non exhibet C 12 *ἐκλείπει* S, *ἐκλίπῃ* C *γενήσονται* S, *ἔσονται* C
13 *πόλις πρὸς πόλεις* S 15 *κακὸν* S, *κακῶν* C *ἡμέρᾳ* S, *ἡ <....>* C 23 *λοιμὸς* S, *λιμὸς* C 24 *εἰκάδος* S, *εἰ κοστῆς* C 26 *ἀπὸ ιε'* SC, *ἀπὸ εἰκοστῆς πέμπτης* H (sc. *κε'*) *τριακοντάδος* S, *τριακοστῆς* C *καὶ* om. C 27 *ἄρχοντ<..>* C *καινοῦ* C, sed *κλεινοῦ* iam H *σεισμὸς* S, *<...>σμὸς* C

εἰ ἐπὶ τῆς τριακάδος σεισμὸς γένηται, χειμῶνας σφοδροὺς σημαίνει.

Καρκίνῳ. Ἰουλίῳ. Εἰ ἡ Σελήνη ἀμυδρὰ φανείη, στράτευμα ἀλλότριον ἐπὶ τὴν τοῦ βασιλέως ἥξει χώραν. ἐὰν ἦχος ἐκ τῆς γῆς γένηται, ἐγχέλυες πολλαὶ ἔσονται. εἰ σεισμὸς γένηται, τύραννος ἀναιρεθήσεται. ἐὰν κεραυνὸς εἰς τὴν γῆν πέσῃ, πόλεις παράλιοι ἐρημωθήσονται,καὶ ἀπορία ἔσται ἀνθρώπων.ἐὰν ἡ Σελήνη αἱματώδης φανῇ, ἄνδρες δυνατοὶ κακοδαιμονήσουσιν. ἐὰν ἡ Σελήνη ἐξ ἴσου ἔχῃ τὰς κεραίας, εἰρήνη ἔσται καὶ εὐθηνία. εἰ δὲ ὑπερέχει ἑτέρα τῆς ἑτέρας, ὕδατος λεῖψις ἔσται. εἰ σεισμὸς γένηται, ἀπὸ πρωὶ ἕως μεσεμβρίας, θεοχολωσίαν ἀπειλεῖ. ἐὰν ἀπὸ ς′ ὥρας ἕως θ′ σεισμὸς γένηται, τοῖς μὲν πρωτεύουσι τῆς χώρας μετανάστασιν, τοῖς δὲ λοιποῖς θόρυβον ἀπειλεῖ. εἰ δὲ ἀπὸ πρώτης φυλακῆς τῆς νυκτὸς ἕως τρίτης ἀρχομένης σεισμὸς γένηται, τοῖς μὲν διὰ λόγον ἀχθεῖσιν ἀτιμίας ἀπειλεῖ, τοῖς δὲ βιβλίοις φθοράν, καὶ τοῖς περὶ τὴν ἀνατολὴν πολέμους.

Λέοντι. Αὐγούστῳ. Εἰ ὁ Ἥλιος ἀμαυρὸς γένηται, μέγας ἀνὴρ ἀπολεῖται, ἐπὶ δὲ τῶν πραγμάτων ἕτερος ἔσται ἀρχικώτερος. εἰ δὲ ἡ Σελήνη ἀμαυρὰ γένηται τῇ ἑωθίνῃ φυλακῇ,στράτευμα ἀλλότριον ἐπελεύσεται τῇ βασιλέως χώρᾳ. ἐὰν σεισμὸς γένηται, θόρυβος ἔσται καὶ ἀνδρὸς δυνατοῦ ἀναίρεσις. εἰ κεραυνὸς πεσεῖται,

---

1 *σφοδροὺς* S, *μεγάλους* C
3 *Καρκίνῳ* S, *<.....>ρκίνῳ* C, *Σελήνη <ἐν> Καρκίνῳ* HW, sed *ἐν* addidit HW *Ἰουλίῳ* non exhibet C *εἰ* S, [..] C *σελήνη ἀμυδρὰ* S, *σελ<.....>ρὰ* C *φανείη* S, *ὀφθείη* C 4 *τοῦ* om. C *ἥξει χώραν ἐὰν* S, *ἥ <.....>ὰν* C 5 *ἐγχέλυες πολλαὶ ἔσονται. εἰ σεισμὸς γένηται* om. C per homoioteleuton.
6 *ἐὰν κεραυνὸς* S, *<.....>ραυνὸς* C *τὴν* om. C 7 *ἐρημωθήσονται καὶ ἀπορία* S, *ἐρημωθησον <.....>ορία* C 8-9 *σελήνη ἐξ ἴσου* S, *<.....>σου* C *ὑπερέχει* S, *ὑπερέχῃ* C 10 *ἑτέρ<.> τὴν ἑτέραν* C *ἔσται λείψις* C 11 *ὥρας* SC, *ἡμέρας* W
12 *θ′* sc. *ἐννάτης* S, *τριακάδας* C 14 *τρίτης* C, *τῆς* S, quod e *Γης* ortum esse videtur 15 *ἀχθεῖσιν* S, *ὀφθεῖσιν* C *ἀτιμίας* S, *ἀτιμίαν* C *τοῖς* S, *<....>* C
17 *Λέοντι* S, *Σελήνη <ἐν> Λέοντι* C, sed *ἐν* addidit W *Αὐγούστῳ* non exhibet W *γένηται* S, *γενήσεται* C 20 *ἐπελεύσεται τῇ βασιλέως* S, *ἐπε εὐ<.....>λέως* C ; sed *τῇ τοῦ β.* HW *γένηται* S,*<....>* C *σεισμὸς* S, *σεισ<...>* C
21 *ἔσται κ. ἀ. δυνατοῦ* S, *ἐσ<.....>δρὸς δυ<..>τοῦ* C

πόλεις παράλιοι ἐρημωθήσονται. εἰ ἡ Σελήνη αἱματώδης φανῇ,ἀπώλειαν δυνατῶν δηλοῖ. ἐὰν ἄνεμος δυνατὸς πνεύσῃ, τῇ χώρᾳ σινήσει. ἐὰν ὁμίχλη, ἀνάγκη συμπεσεῖται ἀνδρὶ μεγάλῳ. ἐὰν σεισμὸς γένηται ἀπὸ νεομηνίας ἕως δεκάτης, φόνους καὶ στενώσεις καὶ φθορὰν κτηνῶν ἀπειλεῖ ἢ λιμόν· μεταλλάξει καὶ ὁ ἡγούμενος τῆς χώρας. εἰ ἀπὸ δεκάτης ἕως τριακοστῆς σεισμὸς γένηται, σημαίνει μὲν ταραχὰς καὶ φυγάς, ἐλπίδα δὲ ἀγαθῶν. εἰ σεισμὸς γένηται, νυκτός, πρὸς μὲν βραχὺ ἀγαθὰ ἔσται,ἀκολουθήσει δὲ πάντων ἀλγεινότατον.

Παρθένῳ. Σεπτεμβρίῳ. Εἰ ὁ Ἥλιος ἐρυθρὸς γένηται, σύμμαχοι βασιλικοὶ ἀποστήσονται. εἰ ἡ Σελήνη ἀμαυρὰ γένηται τῇ δευτέρᾳ φυλακῇ, φθορὰ κτηνῶν ἔσται. εἰ τῇ ἑωθινῇ φυλακῇ, μέγας ἀνὴρ ἀπολεῖται. εἰ ὁ τῆς Ἀφροδίτης ἀστὴρ πλησίον τῆς Σελήνης ἔλθῃ, πολέμους ἐμφυλίους ἀπειλεῖ. εἰ πρηστὴρ πέσῃ, παράλιοι πόλεις ἀφανισθήσονται. εἰ ἐκ τῆς γῆς ἦχος γένηται, πόλεμον τοῖς παραλίοις ἀπειλεῖ. εἰ, τῆς Σελήνης ἀνισχούσης, αἱ κεραῖαι αὐτῆς ἀλλήλαις πλησιάσουσι, κατομβρίαν δηλοῖ εἰς ἀπώλειαν καρπῶν. εἰ ἐκλείπει ἡ Σελήνη, μέγας ἀνὴρ ἀπολεῖται. εἰ σεισμὸς γένηται, ἀνθρώπων φθορὰν ἀπειλεῖ. εἰ ἐν ἡμέρᾳ ἀστέρες φανῶσιν, ἐναίρεσις ἔσται ἀνθρώπων. εἰ ἄνεμος βίαιος πνεύσει,

---

1 *πόλεις π. ἐρημωθήσονται* S, *πόλ<...>ραλ<.....> θήσονται* C *ἀπώλειαν δ. δηλοῖ* S, *ἀπ<.....>νατ<....>λοῖ* C 2 *δυνατὸς* S, *σφοδρὸς* C *σινήσει* S, *συνοίσει* C 3 *ὁμίχλη, ἀνάγκη* S, *ὁμίχλη <.....>νάγκη* C ; *ὁ. πέσῃ, ἀνάγκη* HW 4 *γένηται ἀ. ν. ἕως* S, *γένη<.....>νου<.....>ως* C 5 *κτηνῶν* S, *τῶν κτηνῶν* C *ἢ λιμὸν μεταλλάξει* S, *<...>μὸν <..>ταλλάξει* C 6 *γένηται* S, *<.....>* C 8 *νύκτὸς* S, *νυκτὸς παρ' ἀμφιλύκῃ* C ; *νύκτα παρ' ἀμφιλύκην* Hercher, cf. Homer H, 433 *ἀγαθὰ ἔσται* S, *ἀγα<.....>* C *πάντων* S *τὰ πάντων* C

10 *Παρθένῳ* S, *Σελήνη <ἐν> παρθένῳ* C ; sed *ἐν* addidit W *Σεπτεμβρίῳ* non exhibet C 11 *σύμμαχοι βασιλικοὶ* S, *σ<...>μαχοι* C 12 *τῇ δευτέρᾳ φ. φθορὰ* S, *τῇ πρώτῃ φυλ<....>θορὰ* C 13 *μέγας ἀνὴρ* S, *τὸ αὐτὸ γένητ <.....>ρ* C *Ἀφροδίτης* S, *<..>φρο<..>της* C 14 *τῆς σελήνης ἔ. π. ἐ. ἀπειλεῖ* S, *τῇ σε<.....>ους ἐμφ<.....>πειλεῖ* C *πέσῃ* S, *πέ<.....>* C ; *πέσῃ αἱ* HW 15 *ἀφανισθήσονται. εἰ τ.γῆς* S, *ἀφ <.....>ῆς* C ; *ἀφανισθήσονται εἰ ἀπὸ γῆς* HW 16 *ἀπειλεῖ. εἰ σελήνης* S, *<....>λεῖ<.....>ης* C 17 *αὐτῆς* S, *<....>ς* C *πλησιάσουσι κ. δηλοῖ* S, *πλησιάσωσι κατο<.....>* C 18 *ἐκλείπει* S, *ἐκλίπῃ* C *ἀνὴρ ἀπολεῖται* S, *ἀ<....>πολεῖται* C 20 *πνεύσει* S, *πνεύσῃ* C

εἰρήνην παρ' ὅλον τὸν ἐνιαυτὸν δηλοῖ. εἰ σεισμὸς γένηται ἀπὸ νεομηνίας ἕως ζ',εὐθηνίαν ἅμα καὶ βίαιον θάνατον προσδοκητέον καὶ Περσῶν ἔφοδον. εἰ ἀπὸ ὀγδόης ἕως δεκάτης σεισμὸς γένηται, ἔνδειαν σίτου ἀπειλεῖ. εἰ σεισμὸς νυκτὸς γένηται, φθορὰν τῶν πρωτευόντων τοῦ ἔθνους καὶ ἀλλοίωσιν τῶν πραγμάτων ἀπειλεῖ. εἰ πολλάκις γένηται σάλος, ταραχὰς καθολικὰς προλέγει καὶ τῶν δυνατῶν μετάπτωσιν.

Ζυγῷ. Ὀκτωβρίῳ. Εἰ οὐρανὸς ταραχώδης γένηται ἐπὶ τῆς πρώτης φυλακῆς τῆς νυκτός, λιμὸν ἀπειλεῖ. εἰ δὲ ἐπὶ τῆς δευτέρας, δυτικαὶ πόλεις αἰχμαλωτισθήσονται. εἰ δὲ ἐπὶ τῆς ἑωθινῆς, λικμητὸν ἀνθρώποις ἀπειλεῖ. εἰ ἦχος ἀπὸ τῆς γῆς γένηται, φόνους ἀπειλεῖ. εἰ πρηστὴρ πέσῃ, παράλιοι πόλεις ἐρημωθήσονται. εἰ ὁ Ἕσπερος ἐπὶ τὴν Σελήνην ἔλθῃ, ἀνὴρ δυνατὸς ἀναιρεθήσεται. εἰ παρὰ πάντα τὸν μῆνα βίαιος ἄνεμος ῥεύσει, ταραχὰς ἀπειλεῖ. εἰ σεισμὸς ἀπὸ νεομηνίας ἕως δεκάτης γένηται, φθορὰ κτηνῶν ἔσται καὶ πτῶσις τοῦ ἡγουμένου τῆς χώρας. εἰ δὲ ἀπὸ ιε' ἕως λ', προνομὴν ἀπειλεῖ τῆς χώρας.

Σκορπίῳ. Νοεμβρίῳ. Εἰ κατὰ τὴν πρώτην τῆς νυκτὸς φυλακὴν<αἱματώδης> ἡ Σελήνη φανῇ,ἀνταρσίαν καὶ ἑτέρου προσαγωγὴν δηλοῖ. εἰ ὁμιχλαίνει ὁ ἀήρ, εἴτ' ἐπὶ γῆς ῥίψει τὴν ἀχλύν, φθορὰ ἔσται σίτου. εἰ δὲ διάττει ὁ ἀστήρ, φθορὰν σίτου καὶ ἀνθρώπων ἀπειλεῖ, ὅταν μέντοι ἀπὸ ἀνατολῶν εἰς δυσμὰς ἐκτρέχῃ. εἰ δὲ

---

2 *νεομηνίας* S, *νουμησίας* C *ἅμα* S, *ἅμα δὲ* C 4 *νυκτὸς γένηται* S, *γένηται νυκτὸς* C 7 *δυνατῶν* S, *δυναστῶν* C 8 *Ζυγῷ* S, *Σελήνη <ἐν> ζυγῷ* C ; sed *ἐν* addidit W *Ὀκτωβρίῳ* non exhibet C *οὐρανὸς* S, *ὁ οὐρανὸς* C 10 *τῆς δευτέρας* S, *δευτέρας* C 12 *φόνους* S, *φθόνους* C *πέσει, παράλιοι* S, *πέσῃ παλαιαὶ* C 13 *ἐπὶ τὴν σελήνην ἔλθει* S, *ὑπὸ τῆς σελήνης διέλθῃ* C 14 *ῥεύσει* S, *ῥεύσῃ* C Leg. *πνεύσει* cf. p. 153, l. 21 15 *νεομηνίας* S, *νουμηνίας* C 16 *ἡγουμένου τῆς χώρας* S, *ἡγουμ <.....>χώρ<..>* C 17 *ἀπὸ ιε'* SC, *ἀπὸ ἐνδεκάτης* (scil. *ια'*) H *τῆς χώρας* S, *τη[..]ώρας* C 18 *Σκορπίῳ* S, *Σελήνη <ἐν> σκορπίῳ* C ; sed *ἐν* addidit W *Νοεμβρίῳ* non exhibet C *εἰ κατὰ τὴν* S, *<.....>* C 19 *αἱματώδης* om. S. *<αἱματώδης> ἡ σ. φ. ἀνταρσίαν* S, *αἱματώδ <.....>αρσίαν* C *προσαγωγὴν* S, *προαγωγὴν* C 20 *ὁμιχλαίνει ὁ ἀὴρ εἴτ' ἐπὶ γῆν ῥίψει* S, *ὁμιχλ <.....>ς ῥίψῃ* C ; *ὁμιχλάνῃ ὁ ἀ. ἢ ἐπὶ γῆς* HW. 21 *διάττει ὁ ἀ. φθορὰν* S, *διάττῃ ἀστὴρ <....>ἀν* C *ἀνθρώπων ἀπειλεῖ* S, *ἀνθρώπω <.....>ῖ* C 22 *ἐκτρέχῃ* SW, *ἐκτρέχοι* C

ἦχος ἐκ τῆς γῆς γίνεται, φυγὴν ἀπειλεῖ. εἰ δὲ αἱ κεραῖαι τῆς Σελήνης συμπέσουσι, σῖτος μὲν ἔσται πολύς, τετραπόδων δὲ θηρίων θάνατος. εἰ σεισμὸς γένηται, ἀνὴρ μέγας ἀπολεῖται. εἰ ὁ Ἕσπερος ἐγγίζει τὴν Σελήνην, θόρυβοι ἔσονται.

Τοξότη. Δεκεμβρίῳ. Εἰ ἡ Σελήνη αἱματώδης φανῇ, πόλεις μεγάλαι ἀνάστατοι ἔσονται. εἰ ἡ Σελήνη ἀμαυρὰ γένηται κατὰ τὴν πρώτην φυλακὴν καὶ κατὰ τὴν μεσομηνίαν, οἱ περὶ τὰ βασίλεια ταραχθήσονται, εἰ δὲ κατὰ τὴν δευτέραν φυλακήν, τοῖς ἐπὶ θάλασσαν πόλεμον δηλοῖ. εἰ δὲ τῇ ἑωθινῇ, ἀνὴρ δυνατὸς ὑπὸ βασιλέως ταραχθήσεται. εἰ δὲ κατὰ τὸν αὐτὸν καιρὸν ἡ Σελήνη αἱματώδης φανῇ, σφαγὰς ἀπειλεῖ. εἰ πνεῦμα βίαιον παρ' ὅλον πνεύσῃ τὸν μῆνα, ἄνδρες μεγάλοι ἀπολοῦνται. εἰ ἀστὴρ διάττει ἀπὸ τοῦ νότου εἰς τὸν βορρᾶν, οὐ μόνον ἐπὶ τὸν αὐτὸν πνεύσεται νότον, ἀλλὰ καὶ τὸν πόλεμον τοῖς ἐπιθαλασσίοις δηλοῖ. εἰ ὁμίχλη πέσῃ τῇ γῇ, βλαβερὸν τῷ σπόρῳ. εἰ ἐκλείψει ἡ Σελήνη, φθορὰ ὑποζυγίων ἔσται. εἰ ἦχος ἐκ τῆς γῆς γένηται, ἀνθρώπων φυγὴ ἔσται. εἰ αἱ κεραῖαι τῆς Σελήνης συμπέσουσι, σῖτος ἔσται πολὺς καὶ θάνατος τετραπόδων καὶ φθίσις ἀνθρώπων.

F. 165. *Βροντολόγιον.*

Κριός. — Ἐὰν βροντήσῃ εἰς τὰ ἀνατολικὰ μέρη θανατικὸν

---

1 *ἦχος ἐ. τ. γῆς γίνεται* S, *ἦ* <.....>*ῆς γένηται* C *φυγὴν* SHW, *φυγειν* C *ἀπειλεῖ* S, *ἀπ*<.....> C *σελήνης συμπέσουσι* S, *σελ*<.....>*υμ*<.....> C 2 *ἔσται πολύς, τετραπόδων* S, *ἐσ*<.....>*πόδων* C *θηρίων* hic non exhibet SC 3 *θάνατος* S, *θά*<.....>*ρίων ἔσται* C, *θάνατος καὶ θηρίων ἔσται* HW *γένηται, ἀνὴρ μέγας ἀπολεῖται εἰ δ' ὁ Ἕ. ἐγγίζει τὴν σελήνην* S, *γέ*<.....>*πολεῖ*>.....>*σπ*<...>*ος ἐγγίσῃ τῆς σελήνης* C 5 *Τοξότῃ* S, *Σελήνη* <*ἐν*> <....>*τῃ* C ; sed *ἐν* addidit W *Δεκεμβρίῳ* non exhibet C *Εἰ ἡ σ. αἱ. φ. π. μεγάλαι* S, <.....>*ει*<...>*εγάλαι* C 6 *ἡ σελήνη ἀ. γ. κατὰ* S, *ἡ*<.....>*τὰ* C 7 *καὶ κατὰ τ. μ. οἱ π. τ. βασίλεια* S, *ἢ κατὰ τὴν* <...>*ομ*<.....>*λεια* C 8 *κατὰ τὴν δευτέραν* S, *κ*<.....>*δευτέραν* C 9 *ἐπὶ θάλασσαν* S, *ἐν θαλάσσαις* C *ἑωθινῇ* S, *ἑ*<....>*νῇ* C *εἰ δὲ* S, *εἰ* C 12 *πνεύσει* S, *πνεύσῃ* C *διάττει* S, *διάττοι* C 14 *εἰς* S, *ἐπὶ* C *οὐ μόνον ἐ. τ. αὐ. π. νότον* S, *οὐ μόνον αὐτὸν πνεῦσαι τὸν νότον* S ; locus hic corruptus videtur. 15 *τῇ γῇ* S, *εἰς τὴν γῆν* C *ἐκκλείψει* S, *ἐκλείψῃ* C 17 *συμπέσουσι* S, *συμπέσωσι* C

19 Titulus deest. — Hoc Brontologion neque cum Brontologiis, p. 145 laudatis, neque cum *Cat.* VIII, III, 166 (43, f. 215v) consentit.

καὶ ἀκαταστασία εἰς πολλοὺς κακοὺς καὶ ἀνδρῶν σοφῶν ἀπώλεια εἰ δὲ καὶ σεισμός, λιμὸς ἔσται.

Ταῦρος. — Ἐὰν βροντήσῃ, ἔνθα παραδράμῃ ἡ βροντή, χαρὰ γίνεται εἰς τοὺς βασιλεῖς, εἰς δὲ τὴν ἀνατολὴν ἀκαταστασία καὶ ἀλληλοσφαγία καὶ ἄκουσμα βασιλέως καὶ ἀρρωστία πολλὴ καὶ ἀπώλεια. εἰ δὲ καὶ σεισμός, πολλὰ ἐναντία σημαίνει.

Δίδυμος. — Ἐὰν βροντήσῃ, ἀγῶνες καὶ σάλος εἰς τοὺς ἀνθρώπους, σίτου λεῖψις καὶ κλύδωνες ἐν τῇ θαλάσσῃ καὶ εἰς τὰ ὑψηλὰ ἐλαφρὸς χειμὼν καὶ καρπῶν λεῖψις καὶ ἄκουσμα βασιλέως εἰς τὴν οἰκουμένην, καὶ ἑρπετῶν ἀπώλεια· ἔνθα δὲ παραδράμῃ ἡ βροντή, ταράσσεται ἡ χώρα ἐκείνη. εἰ δὲ σεισμός, ταραχαὶ πολλαί.

Καρκῖνος. — Ἐὰν βροντήσῃ, ἄνεμοι πολλοί, σίτου καὶ κριθῆς καρπὸς πολὺς καὶ πῦρ ἐν τῇ πόλει καὶ ψόφος βοῶν, χειμὼν καλός, ὄσπρια πολλὰ καὶ εἰς τὸν βορρᾶν κατάλυσις καὶ ἄκουσμα βασιλέως. εἰ δὲ καὶ σεισμός, νοσήματα πολλά.

Λέων. — Ἐὰν βροντήσῃ, σίτου καὶ οἴνου καὶ παντὸς ἀγαθοῦ λεῖψις καὶ ἐν τῇ δύσει ἀλλαξοβασιλεία, χειμὼν ποικίλος, πῦρ ἐν τῇ πόλει καὶ πτῶσις βοῶν, κίνδυνος πρὸς τὸν βορρᾶν καὶ δαιμόνων ἐμφάνεια. εἰ δὲ καὶ σεισμός, σοφοὶ ἄνδρες ἀπολοῦνται.

Παρθένος. — Ἐὰν βροντήσῃ, βασιλέως καὶ λαοῦ πολλοῦ ἀπώλεια καὶ εἰς τὰ μέρη τῆς Αἰγύπτου ἀκαταστασία, καὶ τὰ πλησίον κινδυνεύσουσι, λεῖψις δὲ παντὸς εἴδους· εἰ δὲ σεισμὸς γένηται, ἄνεμοι πολλοὶ καὶ βυθοστρέμματα ἐν τῇ θαλάσσῃ, χειμὼν δὲ βαρὺς καὶ θανατικὸν καὶ νοσήματα εἰς τόπους.

Ζυγός. — Ἐὰν βροντήσῃ, πόλεμος καὶ ἀλληλοσφαγίαι, καὶ τὰ ἄγρια ζῷα ἀπολοῦνται, καὶ καύματα φανήσονται, καὶ χειμὼν καλός, καὶ πόλεμοι γενήσονται καὶ ἀπὸ νόσου χαμὸς ἀνθρώπων καὶ ἐν τῇ δύσει λιμὸς καὶ περίστασις καὶ μετάθεσις ἀνθρώπων, τετραπόδων καὶ ἑρπετῶν ἀπώλεια. εἰ δὲ σεισμός, θανατικὸν κατὰ τόπους.

Σκορπίος. — Ἐὰν βροντήσῃ, χειμὼν καὶ ἀλληλοσφαγίαι καὶ ὀρνέων ἀπώλεια καὶ ἀρχόντων θάνατος, ὀσπρίου λεῖψις καὶ εἰς τὸν βορρᾶν κατάλυσις καὶ κοῦρσα καὶ ἀλλαξοβασιλεῖαι καὶ

---

5 παραδράμει cod. 5 ἄκουσμα cod. ; cf. l. 9 et 15 10 παραδράμει cod. 14 ψόφος neogr. = strages pecorum morientium 19 πρὸς] ἀπὸ cd. 25 θανατικὰ cod. 27 κάματα cod. 28 χαμός = neogr. « interitus ». 34 κοῦρσα = piratica praedatio.

ἀρχόντων περιστάσεις. εἰ δὲ καὶ σεισμὸς γένηται, σίτου χαρὰ καὶ πολλὴ ἀγαθοσύνη, νοσήματα δέ.

Τοξότης. — Ἐὰν βροντήσῃ, ἀγῶνες καὶ ἀκαταστασία· ἔνθα παραδράμῃ ἡ βροντή, βλάβην σημαίνει τῇ χώρᾳ ἐκείνῃ. εὐφορία παντὸς εἴδους, καὶ ἐν τῇ ἀνατολῇ κατάλυσις· χειμὼν ὄψιμος καὶ ἀκρίδων ἐμφάνεια πρὸς κατάλυσιν τῶν καρπῶν. εἰ δὲ σεισμός, προβάτων πτῶσις.

Αἰγόκερως. — Ἐὰν βροντήσῃ, ὄμβρον σημαίνει ἡμέρας τεσσαράκοντα· καὶ βασιλέως ἀτιμία καὶ ταραχὴ καὶ εἰς τὰς βασιλικὰς αὐλὰς ἄλλου βασιλέως ἄκουσμα, ἐν ἀνατολῇ καὶ εἰς ἄλλους τόπους λιμὸς καὶ θανατικὸν καὶ χάλαζα εἰς τόπους καὶ πλοίων ἀπώλεια καὶ ἀνδρῶν μεγάλων ἀφανισμός. εἰ δὲ καὶ σεισμὸς γένηται, μαλακισμοὺς καὶ νόσους ἐπικινδύνους δηλοῖ.

Ὑδροχόος. — Ἐὰν βροντήσῃ, πόλεμον δηλοῖ καὶ κατὰ τόπους νόσον, κατὰ τόπους χαρά· εὐφορία σίτου καὶ κριθῆς καὶ ὀσπρίων παντοίων· ἔνδοξος χειμὼν καὶ ποικίλος, καὶ λαῶν χαμός· εἰ δὲ σεισμὸς γένηται, πόλεμον δηλοῖ.

Ἰχθύς. — Ἐὰν βροντήσῃ, σίτου λεῖψις εἰς τόπους καὶ κίνδυνος ὀλίγος καὶ ταραχὴ εἰς τὴν χώραν ἐκείνην καὶ εἰς τοὺς κατοικοῦντας βασιλεῖς, καὶ λιμὸς ἔσται καὶ βασιλέως ἀπώλεια, ἔνδοξος χειμών, καὶ τὰ πρώιμα καὶ ὥριμα καλὰ ἔσονται. εἰ δὲ σεισμὸς γένηται, νόσος εἰς τοὺς ἀνθρώπους.

F. 166. Σεισμολόγιον.

Δεῖ γινώσκειν ὅτι κατὰ τὴν ιη′ τοῦ Μαρτίου μηνός, ὥρᾳ ιε′ ς′′, εἰσέρχεται ὁ Ἥλιος ἐν τῷ Κριῷ, καὶ διαπορεύεται ἐν αὐτῷ μέχρι τῆς κα′ ς′′ ὥρας τῆς ιη′ τοῦ Ἀπριλλίου μηνός. ἐν ταύταις οὖν ταῖς ἡμέραις ἐὰν σεισμὸς γένηται, πολλὰ ἀγαθὰ τοῖς ἀνθρώποις σημαίνει.

Ἀπὸ δὲ κα′ ς′′ ὥρας τῆς ιη′ ἡμέρας τοῦ Ἀπριλλίου μέχρι τῆς ια′ ς′′ ὥρας τῆς κ′ ἡμέρας τοῦ Μαΐου μηνὸς διέρχεται ὁ Ἥλιος τὸν Ταῦρον. ἐν ταύταις οὖν ταῖς ἡμέραις, ἐὰν σεισμὸς

---

4 *παραδράμει* cod. 13 *ἐπὶ κινδύνον* cod. 21 *ὅρισμα* cod.
21 Nonnulla interdum in mentem revocant *Cat.* IV, p. 170-172.
Titulus deest in cod.

γένηται ἐν ἡμέρᾳ, τῷ κόσμῳ ταραχὴν μεγάλην σημαίνει· εἰ δ' ἐν νυκτί, πολέμους καὶ ἀκαταστασίας μεγάλας.

Ἀπὸ δὲ τῆς ια' ς'' ὥρας τῆς κα' ἡμέρας τοῦ Μαΐου μηνὸς διέρχεται ὁ Ἥλιος τοὺς Διδύμους. κατὰ τοῦτον τὸν καιρὸν ἐὰν σεισμὸς γένηται ἐν ἡμέρᾳ, βασιλέως κίνημα ἔσται· εἰ δὲ νυκτός, στρατοπέδων κίνησις καὶ μετάθεσις μηναίων.

Ἀπὸ δὲ τῆς γ' ς'' ὥρας τῆς κβ' ἡμέρας τοῦ Ἰουνίου μηνὸς μέχρι τῆς ιθ' ς'' ὥρας τῆς κβ' τοῦ Ἰουλίου διέρχεται ὁ Ἥλιος τὸν Καρκῖνον. εἰς τὰς τοιαύτας ἡμέρας ἐὰν σεισμὸς γένηται ἡμέρᾳ, μεγάλων ἀνδρῶν θάνατον σημαίνει· εἰ δὲ νυκτί, θάνατον καὶ θόρυβον τῶν ἄλλων.

Ἀπὸ δὲ τῆς ιγ' ς'' ὥρας τῆς κβ' ἡμέρας τοῦ Ἰουλίου μηνὸς μέχρι τῆς ιε' ὥρας τῆς κβ' ἡμέρας τοῦ Αὐγούστου, διέρχεται ὁ Ἥλιος τὸν Λέοντα. εἰς ταύτας τὰς ἡμέρας ἐὰν σεισμὸς γένηται, βασιλέων διαδοχὰς σημαίνει.

Ἀπὸ δὲ τῆς ιε' ὥρας τῆς κβ' ἡμέρας τοῦ Αὐγούστου μέχρι τῆς ιε' ς'' ὥρας τῆς κα' ἡμέρας τοῦ Σεπτεμβρίου διέρχεται ὁ Ἥλιος τὴν Παρθένον. εἰς ταύτας τὰς ἡμέρας ἐὰν σεισμὸς γένηται ἐν ἡμέρᾳ, ἐπαύξησιν σημαίνει τῇ χώρᾳ καὶ σωφροσύνην τῷ λαῷ· εἰ δὲ νυκτὸς, πύλεων ἐρήμωσιν προμηνύει.

Ἀπὸ δὲ τῆς ιε' ς'' ὥρας τῆς κα' ἡμέρας τοῦ Σεπτεμβρίου μέχρι τῆς ζ' ὥρας τῆς κα' ἡμέρας τοῦ Ὀκτωβρίου διέρχεται ὁ Ἥλιος τὸν Ζυγόν. ἐὰν σεισμὸς γένηται ἐν ἡμέρᾳ, βασιλέων κίνησιν καὶ πολέμους μεγάλους προμηνύει· εἰ δὲ νυκτὸς, στρατοπέδων κίνησιν καὶ σφαγὰς πολλῶν ὄχλων δηλοῖ.

Ἀπὸ δὲ ζ' ὥρας τῆς κα' ἡμέρας τοῦ Ὀκτωβρίου μέχρι τῆς ιγ' ς'' ὥρας τῆς ιθ' ἡμέρας τοῦ Νοεμβρίου μηνὸς διέρχεται ὁ Ἥλιος τὸν Σκορπίον. ἐὰν σεισμὸς γένηται ἐν ἡμέρᾳ, ἀνδρῶν κίνησιν προμηνύει· εἰ δὲ νυκτὸς, θάνατον καὶ φθοράν.

Ἀπὸ δὲ τῆς ιγ' ς'' ὥρας τῆς ιθ' τοῦ Νοεμβρίου μηνὸς μέχρι τῆς ιή' ς'' ὥρας τῆς ιή' ἡμέρας τοῦ Δεκεμβρίου διέρχεται ὁ Ἥλιος τὸν Τοξότην. ἐὰν σεισμὸς γένηται ἐν ἡμέρᾳ, βασιλέων κίνησιν κατ' ἐχθρῶν προμηνύει· εἰ δὲ νυκτός, στρατοπέδων κίνησιν καὶ ἐπιβουλὴν δηλοῖ.

Ἀπὸ δὲ τῆς ιή' ς'' ὥρας τῆς ιή' ἡμέρας τοῦ Δεκεμβρίου

---

3 κα' Legendum κ' cf. p. 157, l. 30 7 κβ' corr. : κ' ς'' cod.
19 τὴν χώραν cod.

μέχρι τῆς ε′ ς′′ ὥρας τῆς ιζ′ ἡμέρας τοῦ Ἰανουαρίου διέρχεται ὁ Ἥλιος τὸν Αἰγοκέρωτα. ἐὰν σεισμὸς γένηται ἐν ἡμέρᾳ, βασιλέων αὔξησιν καὶ ἐμφάνειαν προμηνύει· εἰ δὲ νυκτὸς, καρπῶν ἀπώλειαν δηλοῖ.

Ἀπὸ δὲ τῆς ε′ ς′′ ὥρας τῆς ιζ′ ἡμέρας τοῦ Ἰανουαρίου μέχρι τῆς ε′ ς′′ ὥρας τῆς ιζ′ ἡμέρας τοῦ Φεβρουαρίου διέρχεται ὁ Ἥλιος τὸν Ὑδροχόον. ἐὰν σεισμὸς γένηται ἐν ἡμέρᾳ, στρατοπέδου ἔλευσιν μετὰ χαρᾶς μηνύει· εἰ δὲ νυκτός, ζάλην ἐν τῇ θαλάσσῃ καὶ πολλὰ ναυάγια σημαίνει.

F. 168. *Περὶ γεννήσεως τοῦ χρόνου ἐν τοῖς δώδεκα εἰδώλοις.* (1)

Ἐὰν γεννᾶται ἐν Ζυγῷ ὁ χρόνος, τῷ οἴκῳ τῆς Ἀφροδίτης. τούτῳ ὑπόκεινται μέσον ἡ Κρήτη καὶ ἡ Χαλκηδών. ἐν αὐτῷ ἀφανίζονται οἱ καρποί, ὅτι βροχαὶ ὑπέρμετροι γίνονται καὶ χορτασία ἀνθρώπων καὶ ἀλόγων. καὶ ἡ ἀγάπη πλεονάσει, ὁ λαὸς δὲ ὁ ὑποκείμενος τῷ Παγούρῳ οὐ βλάπτεται. ἐν τῷ ὑποκειμένῳ Παρθένῳ, ἐν Φρυγίᾳ δὲ καὶ Γαλατίᾳ, ὀνινοῦνται ἐν εἰσόδοις καρπῶν. ὀφείλει δὲ σπαρῆναι σπορὰ ἐν ἀρχῇ· ἐὰν ὑστερεῖται, οὐ χρησιμεύει. καλοκαίριον δὲ νυκτὸς ἔσται κεκαυμένον, καὶ ὁ καιρὸς κακὸς εἰς φυτείας καὶ εἰς ἄλογα. ἀρρωστίαι δὲ γίνονται διὰ πόνων μηρῶν καὶ βηχός. καὶ ταῖς γεννούσαις καλὸς καιρὸς ἔσται.

Ἐὰν γεννᾶται ἐν Κριῷ ὁ χρόνος. τούτῳ τῷ ζῳδίῳ ὑπόκεινται βλάβαι <εἰς> Πέρσας καὶ Ἀνατολὴν ὅλην. ἐν τούτῳ τῷ ἔθνει ἐμπίπτει θανατικὸν ἀνδρῶν καὶ γυναικῶν καὶ βοῶν, καὶ τροφὴ κακὴ ἐν ταῖς χώραις ἐκείναις. ἐν Φρυγίᾳ δὲ καὶ Γαλατίᾳ ἔσται χορτασία, καὶ ἐν τούτῳ τῷ καιρῷ γίνεται ἄνεμος ἀρκτικός, καὶ ὁ

S = *Scorial.* I. R. 14.

10 *γεννέσεως* S 13 *κρίτη* S 14 *ὑπέρμετρον* S 15 *βλάπτονται* S *Παρθένῳ* vix sanum 17 *ἀνοῦνται* S 20 *ἀλόγων* S 21 *βῆλος* S ; et p. 164, 4 *γεννούσαις* S 22 *ἐν τούτω* S 23 *εἰς* addidi

---

(1) Haec est « dodecaeteris Chaldaïca » recentior, fortasse ex Arabico vel Persico exemplare versa. Antiquiores inveniuntur *Cat.* II, p. 138 ss., V, i, p. 173 ; VIII, iii, p. 189. Cf. *Realencyclop.* s.v. « Dodekaeteris ». Vide etiam *Cat.* X, p. 149.

χειμὼν ψυχρός, καὶ χιὼν γίνεται ἐν αὐτῷ καὶ χάλαζα. ὀφείλομεν οὖν ἕκαστος σπεῖραι ἐν τῇ δευτέρᾳ ἡμέρᾳ τοῦ Ὀκτωβρίου μηνὸς ἕως ἡμερῶν ὀκτώ. οὗτος ὁ χρόνος οὐ προλαμβάνει ἐν τοῖς καρποῖς, καὶ οὐ βαστάζει πλῆθος καρπῶν, ὅτι ἡ βροχὴ ὑστεροῖ, καὶ αἰφνιδίως γίνεται βροχὴ μεγάλη, καὶ μετὰ ταῦτα εὐδιάζει. καὶ ἐν τούτῳ τῷ χρόνῳ μηδεὶς προλάβῃ καὶ κόψῃ ξύλον ἐργάσιμον. χόρτος δὲ ἀλόγων γίνεται, καὶ τὸ καλοκαίριον εὔκρατον. καὶ ὁ Ὀκτώβριος, ἕως μηνὸς Νοεμβρίου · καῦμα, καὶ ἔκτοτε ἄρχεται ὁ χειμών. ἡ σπορὰ δὲ ὁτὲ καλή, ὁτὲ κακή, ἡ ἄμπελος δὲ καὶ ἡ ἐλαία καλή. ἀρρωστίαι δὲ γίνονται καὶ πόνος ὀφθαλμῶν, καὶ αἱ γυναῖκες αἱ λεπταὶ γίνονται ἰσχυραί.

Ἐὰν γεννᾶται ἐν τῷ Ταύρῳ ὁ χρόνος. τούτῳ τῷ ζῳδίῳ ὁ οἶκός ἐστι Βιβήριτος, καὶ ὑπόκειται αὐτῷ Αἴγυπτος καὶ Φῆτος · στενώσει δὲ τούτους ἡ πεῖνα καὶ θανατικόν, καὶ ἡ εἴσοδος τῆς γῆς ἐκείνης κακὴ εἰς πάντα, χειμὼν δὲ μέγας καὶ θλῖψις αὐτοῖς ἔσται, ὅτι ὑπόκεινται πολέμοις. ἐν Φρυγίᾳ δὲ θανατικὸν βοῶν καὶ προβάτων, καὶ οὔτε ἐκεῖ γίνεται καλὴ εἴσοδος. γίνονται δὲ ἄνεμοι ἀπὸ δύσεως, καὶ ἐν ἀρχῇ τοῦ χειμῶνος ἔσται καῦμα καὶ ἐκ μέσης χειμὼν μέγας, ἕως ἡμερῶν δύο, καὶ γίνεται χιὼν καὶ κρῦος. ἡ σπορὰ ὤφειλε σπαρῆναι ἀπ' ἀρχῆς Ὀκτωβρίου ἕως ἡμερῶν πέντε καὶ εἴκοσι. κάματοι δὲ πολλοὶ ἔσονται, καὶ τὸ καλοκαίριον κεκαυμένον, ὅτι ἄνεμοι πολλοὶ οὐ γίνονται. Ὀκτωβρίῳ δὲ καὶ Νοεμβρίῳ ἔσονται. καὶ τῇ θαλάσσῃ ἔσται καταποντισμός. καὶ ἀρρωστίαι ἔσονται πολλαὶ καὶ κακαί. καὶ γυναῖκες ἠφανισμέναι γενήσονται, καὶ ἀφανισμὸς ἐν τῷ λαῷ διὰ τοὺς καρπούς, καὶ πεπλήρωται ἐν τοῖς καρποῖς ὁ χρόνος.

Ἐὰν γεννᾶται ἐν Δίδυμοις ὁ χρόνος. τοῦτο τὸ ζῴδιον <οἶκός> ἐστιν Ἑρμοῦ, καὶ ὑπόκεινται αὐτῷ χωρία πάντα δεξιόθεν καὶ ἡ Ἰνδία ἐξ ἀριστερῶν καὶ ὄπισθεν ἡ Βοιωτία. θλίβονται οὗτοι ὑπὸ ἀρρωστίας, καὶ ἡ γῆ οὐ φέρει καρπούς, καὶ πόλεμοι πλεῖστοι ὦσι. χῶραι δὲ αἱ ὑπόκεινται Ὑδροχόῳ, ἔσται χορτασία ἐν αὐταῖς, ἀλλὰ καὶ ἀρρωστία καὶ πόνος κεφαλῆς. καὶ ἐν τῷ αὐτῷ χρόνῳ ἔσονται χειμῶνες, καὶ ἄνεμοι πολλοὶ οὐκ ἔσονται. ὀφείλει

---

2 τῇ β' ἡμέρα S 3 ἕως ἡμερῶν η' S — octo die rum spatio ? vel ἕως ἡμέρας ὀγδόης ? cf. l. 19 et passim. 13 Leg. Βηρυτός ? 19 ἡμερῶν β' S 20 ἡμερῶν κε' S ; ἕως ἡμέρας πέμπτης καὶ εἰκοστῆς ? 21 κάμματοι S 27 τούτου τοῦ χρόνου ἐστὶν Ἑρμῆς S ; cf. aliorum capitum initia.

δὲ σπεῖραι ἐν ἀρχῇ τοῦ Ὀκτωβρίου. ἡ ἄμπελος δὲ χρησιμεύσει, καὶ οἱ καρποὶ πεσοῦνται. καὶ τὸ καλοκαίριον εὔκρατον, διότι νυκτὸς ἄνεμοι ἔσονται καὶ ὑδάτων πλῆθος δι' ἡμερῶν τριάκοντα. ὁ χρόνος ἔσται ὑγιής, καὶ οἱ γεννηθέντες σὺν αὐτῷ τελειοῦνται, καὶ ἐν τῷ καιρῷ τῷ ἑτέρῳ ἀρρωστήσουσι διὰ τοῦ στομάχου. καὶ αἱ γυναῖκες τίκτουσαι οὐ φοβηθήσονται.

Ἐὰν γεννᾶται ἐν Καρκίνῳ ὁ χρόνος. οὗτος ὁ οἶκος Σελήνης, χῶραι δὲ ὑπόκεινται αὐτῷ Χοὺς καὶ Ῥίνα ὄπισθεν καὶ Ἀκουθινὰ δεξιόθεν, καὶ παρ' αὐταῖς ταῖς χώραις γίνεται πεῖνα καὶ θανατικὸν καὶ ἔρις χώρας κατὰ χώρας. ἐν Φρυγίᾳ δὲ καὶ Γαλατίᾳ καὶ Μακεδονίᾳ γίνεται χορτασία. καὶ ἐν αὐτῷ τῷ χρόνῳ γίνονται ἄνεμοι ἀρκτικοί, καὶ ὁ χειμὼν ἔσται ψυχρὸς ἀπό τε χιόνος καὶ κρυστάλλου, καὶ ὁ ἀὴρ μολυνθήσεται ἕως τοῦ καλοκαιρίου. σπορὰ δὲ ὤφειλε σπαρῆναι ἐν Δεκεμβρίῳ ἕως ἡμερῶν τριῶν. καὶ ἡ σπορὰ τοῦ ὄρους καὶ βουνοῦ εἰσοδιάζεται, καὶ πλῆθος καρπῶν. ἐν πλοίῳ μηδεὶς καθίσῃ. καὶ φυτὸν μηδεὶς φυτεύσῃ, ὅτι ἔσται ἀκρὶς πολλὴ καὶ ἄνεμοι πλεῖστοι. θανατικὸν αἰφνιδίως. ὁ δὲ καιρὸς χειμέριος.

Ἐὰν γεννᾶται ἐν Λέοντι ὁ χρόνος. τὸ ζῴδιον <οἰκός> ἐστι τοῦ Ἡλίου. ὑπόκειται αὐτῷ ἡ Βατιδία καὶ Ἄλης καὶ ἀριστερᾷ Φαρπόλιτος καὶ δεξιᾷ Κιλικία καὶ ὄπισθεν Φρυγία . θλίβονται δὲ οὗτοι ἀπὸ θανατικοῦ, καὶ ἐν λιμῷ θλίβεται ἡ Φρυγία, καὶ ἐν τούτῳ τῷ καιρῷ πλῆθος ἀνέμων ἔσται ἀρκτικῶν, καὶ ὁ χειμὼν ψυχρός. καὶ ὁ Ἥλιος ἐν αὐτῷ μόλις φανήσεται, καὶ μακρὸς χειμὼν ἔσται. ἡ σπορὰ κακή, καὶ ὁ χειμὼν πολὺς καὶ κακός. ἐν μὲν τῷ καλοκαιρίῳ ἕκαστος ἀδυνατεῖ, καὶ οἱ καρποὶ μέσοι εἰσέρχονται, καὶ ὤφειλον προλαβεῖν καὶ συστεῖλαι τὴν σπορὰν ἐκ τοῦ ἁλωνίου. εἰς δὲ φυτείας καλὸς χρόνος. καὶ ὁ λαὸς ἔσται ὑγιής, ὁ καρπὸς δὲ χρησιμεύσει. ἀκρὶς δὲ γίνεται ἐν τόποις καὶ ἀρρωστίαι στομαχικῶν καὶ καρδιακῶν. καὶ γυναῖκες τίκτουσαι ἔσονται ἀβλαβεῖς.

Ἐὰν γεννᾶται ἐν Παρθένῳ ὁ χρόνος. τοῦτο τὸ ζῴδιον Δήμητρος καὶ Ἑρμοῦ. ὑπόκεινται αὐτῷ ἔθνη ἔμπροσθεν Γροῖκοι, καὶ ἐπὶ μέσην κατὰ δύσιν ἡ Ῥώμη καὶ Λυδία, καὶ ὄπισθεν Ἀρκαδία. ἐν τούτοις δεῖ γενέσθαι λιμὸν χρόνους δύο· Κιλικία δὲ καὶ Βιθυ-

---

3 δι' ἡμερῶν λ' S 6 αἱ γυναῖκες τιτρώσκουσαι S, et p. 162, l. 10 10 χώραν κατὰ χώρας S 14 ἡμερῶν γ', sed et ν' forte legi potest : ἕως ἡμέρας τρίτης ?? 18 οἶκος addidi ; cf. l. 7, p. 159 l. 12 ; et huius pag. l. 30, ubi fortasse οἶκος addendum 28 στομάχων S ; an στομάχων καὶ καρδιῶν ?

νία οὐ πεινάσωσι, καὶ ὁ λαὸς ἐν ἁμαρτίαις στρέφεται. καὶ ἐν Φρυγίᾳ καὶ Γαλατίᾳ γίνεται χορτασία, καὶ πλῆθος σίτου ἔσται ἐκεῖσε. γίνονται δὲ ἄνεμοι ἀπὸ δύσεως, καὶ ὁ χειμὼν ἀρχῆς ἔσται ἐκεῖσε καυματώδης καὶ εἰς τὴν μέσην εὔκρατος, εἰς τὰ τέλη δὲ γίνεται χιὼν καὶ ἄνεμοι καὶ κρῦος, καὶ ποταμοὶ πληθυνθήσονται, καὶ καρποὶ καὶ ἄμπελοι ἀφανισθήσονται, βρέχει δὲ πλῆθος ἡμερῶν. ἐν ὀρεινοῖς δὲ ἡ σπορὰ εἰσέρχεται, καὶ ἡ ἐλαία καλῶς εἰσοδιάζει. καὶ εἰς τὸ θέρος γίνεται βροχή. διὰ τοῦτο συσταλῆναι τὰς ἅλωνας. Ὀκτωβρίῳ καὶ Νοεμβρίῳ ἔσονται ἄνεμοι καὶ ἀρρωστίαι καὶ γυναῖκες τίκτουσαι ἐν θλίψει ἔσονται ἀβλαβεῖς διαμένουσαι.

Ἐὰν γεννᾶται ἐν Σκορπίῳ ὁ χρόνος. τούτῳ τῷ ἔτει ἐπικρατήσωσι πνεύματα, ἐκ δὲ βροχῆς χειμάδιον εὔκρατον. κατὰ δὲ τὸ μέσον τοῦ χειμῶνος πνεύματα ἀνατολικὰ πνεύσουσιν. ἔσται δὲ καὶ ὑδάτων ἐπιφορὰ ταραχώδης, τὸ δὲ ἔαρ νοτεινόν, ἔχον βροχὰς ἡμερινὰς δέκα ἕως Πληιάδος ἀνατολῆς. σιτικὸς καρπὸς καὶ Διονυσιακὸς καὶ ξενικὸς ἔσται φόριμος, ἔργων δὲ τῶν ἄλλων προλάμβανε, ἵνα μὴ οἱ καρποὶ ἐμποδισθῶσιν εἰς οἰκοδομήν, καὶ πρὸς φυτείας ἐπιτήδειος. τὸν δὲ σπόρον ἐπιτέλει ἀπὸ μηνὸς ἑνὸς ἕως ἡμερῶν τεσσαράκοντα καὶ ἐπὶ αὐχμῇ σπείρῃς. οἱ χειμῶνες ἔσονται <ὑγιεῖς>, τὸ δὲ θέρος ἐπίνοσον, τὸ δὲ φθινόπωρον ἐξαφανίσει τὸν καρπόν. ἰχθύων ἅλωσις ἔσται, φθορὰ ὀρνίθων καὶ ἀγρίων ζῴων.

Ἐὰν γεννᾶται ἐν Τοξότῃ ὁ χρόνος. τούτῳ τῷ ζῳδίῳ ὑποτέτακται ἔθνη ἐμπροσθίοις μέρεσιν Ἱσπανία, μέσον Γαλατία, ὀπισθίοις μέρεσιν Κρήτη. τὰ ἀπεσταλμένα ἔξουσι λιμόν, καὶ ἄκαιρος θάνατος <ἔσται> τούτῳ τῷ ἔτει. ὁ ἀὴρ ἀκαταστατήσει, ὄμβροι καὶ χάλαζαι καὶ ἄνεμοι ἔσονται. ὁ χειμὼν χιονώδης, ὁ ἐρχόμενος μὲν ψυχρός, μέσον δ' εὔκρατος ὀλίγος, ὁ δὲ ψυχρότερος οὐκ εὐδιάλυτος. διδόναι δὲ σπόρον ἀπὸ μηνὸς τρίτης ἕως ἡμέρας τριακοστῆς. τὰ δὲ τῶν πεδίων τόπια οἴσουσι μᾶλλον, Φρυγία δὲ καὶ Γαλατία κόρον ἕξουσι παντὸς καρποῦ εὐφορέσει. ἀκαταστατήσει δ' ἀὴρ ἕως φθινοπώρου ἔχων χειμασίαν διὰ χαλάζης, αὐτὸ δὲ τὸ φθινόπωρον εὔκρατον. περὶ δὲ τοῦ ἀνατεῖλαι τὸν Κύνα ἔσται ἐκ μέρους κίνησις πνευμάτων. οὔτε δὲ εἰς φυτείαν, οὔτε εἰς θεραπείαν <κα-

---

11 ἐπικρατήσωσι S ; et aliae huiuscemodi coniunctiivi formae occurrunt. 16 προλαμβάνει S 18 ἀπὸ μηνὸς α' ἕως ἡμερῶν μ' S 20 ὑγιεῖς addidi 21 ἰχθύων ἁλλοίωσις S 24 Κρίτη τὰ δὲ S 25 ἔσται addidi. 28 μηνὸς γ' S ἡμέρας λ' S 30 παρὰ παντὸς S 31 ἔχον S

λός>. οἱ δὲ καρποὶ ἔσονται τοξικοὶ καὶ ἐπιβλαβεῖς. ἔσται δὲ καὶ τῆς ψοίας ἄλγησις καὶ πλευρᾶς καὶ χειρὸς ὑγεία· παντὸς γὰρ πράγματος ἐπὶ τὸ θεμέλιον ὑπάρχει. γῆ δὲ φθίνουσα κινδυνεύσει, ὁ ἀὴρ ἀκαταστατήσει, ὁ Διονυσιακὸς καρπὸς στήσεται, ὁ δὲ Δημητριακὸς ἐκλείψει. λείψεις δὲ καὶ ὑδάτων.

Ἐὰν γεννᾶται ἐν Αἰγοκέρωτι ὁ χρόνος. τούτῳ τῷ ζῳδίῳ ὑποτέτακται τοῖς ἐμπροσθίοις μέρεσιν Ἀσία, μέσον δὲ τὰ παράλια Πόντου. ἐν χειμῶνι σφαγαὶ καὶ θόρυβος καὶ ἀκαρπία πάντων τῶν καρπῶν. τὰ δὲ ὑπὸ τοῦ Ὑδροχόου μέρη ὑποτασσόμενα <εἰς> ἄκρον ἥξουσι. καὶ εἰρήνη βοσκημάτων. τοῦτο τὸ ἔτος ἀνέμους ἔχον ἀπὸ δύσεως, καταμίξει δὲ κατὰ μέσον τοῦ χειμῶνος, εὔκρατοι δὲ ἀνατολὴ καὶ μεσημβρία. ἀνοχὴ δὲ ἔσται ὕδατος περὶ χειμῶνος. ἀπὸ ἰσημερίας ἀέρες ἔσονται, ὕδατα πολλά. ἐν δὲ τῷ ἔτει τούτῳ χρὴ ἐνάρχεσθαι τὸν σπόρον ἐπὶ ἡμέρας ἑξακοστῆς. οἱ δὲ καρποὶ ἔσονται φύσει ἄμετροι, μήτε φόριμοι, μήτε ἄφοροι. τῶν δὲ τόπων τὰ τραχυνώτερα ποιήσουσι μᾶλλον, ὁ δὲ Διονυσιακὸς καρπὸς πλέων ἐστὶ τοῦ Δημητριακοῦ καὶ τῆς ἐλαίας. τὸ δὲ θέρος ἔσται ἀνατολικὸν ψυχρὸν καὶ εὔφορον. ἔσονται δὲ σεισμοί. τὸ δὲ φθινόπωρον καυματῶδες, καὶ ἀσθένειαι, κίνδυνος γυναικῶν ἐπέλθῃ. πόνοι, νόσοι δὲ λαμπροὶ τετράποσι. εὔφορον τὸ ἔτος καὶ πρὸς θεραπείαν ἐπιτήδειον.

Ἐὰν γεννᾶται ἐν Ὑδροχόῳ ὁ χρόνος. τούτῳ τῷ ζῳδίῳ ὑποτέτακται τοῖς ἐμπροσθίοις μέρεσι Συρία, Μεσοποταμία, <τοῖς ὀπισθίοις> μέρεσιν Αἴγυπτος καὶ Εὐρώπη. σύνοροι θλιβήσονται τῶν ὑποτεταγμένων αὐτῷ. ἀπορεία καρπῶν καὶ + παλυμικῶν + ὅσα ὑποτασσόμενα <τοῖς> μέρεσι τοῖς ὑπὸ τῷ Ὑδροχόῳ. ἰχθύος καὶ πορθμείας <εἰς> κόρον ἥξουσι διὰ τὸ τῶν πολλῶν ὑδάτων πλῆθος. αὐτὸς δὲ τραχέα καὶ ὄψιμον σπόρον σίτου ποιήσει. ἔσται δὲ τὸ ἔτος τοῦτο ἔχον πνεύματα ἀπηλιωτικά, καὶ ὁ χειμὼν εὔκρατος πολύ, καὶ μαλακοὶ ἔσονται οἱ σπόροι πάντες. καὶ ἐπὶ αὐχμὸν σπεί-

---

1 *καλός* addidi 2 *ἄρρησις* S 3 *τὸν θεμέλιον* S *γῆς* S 7 *μέση* S 8 *λιμῶνι* S *σφαγὰς καὶ θόρυβον καὶ ἀκαρπίαν* S 9 *εἰς* addidi ; cf. l. 27 (*κόρον ἔξουσι*?) 14 *ἡμέρας ξ'* S 16 *πλέον* S 17 *ἀνατολικοῦ* S 18 *ἔφαβρον* S ; cf. *εὔφορον* l. 20 19 *ἐπέλθει* S 22 *τοῦτο τὸ ζώδιον* S 23 *Συρίας Μεσοποταμίας* S *τοῖς ὀπισθίοις* addidi 24 *Αἰγύπτου καὶ Εὐρώπης* S 26 *τοῖς* addidi ; *ὑποτασσό μενα τῷ Ὑδροχόῳ* ? 27 *πορθμείας* ego, *παρθενίας* S

ρεις. ὁ δὲ τῶν ξύλων καρπὸς ἐπιβλαβὴς ἔσται. ἔσται δὲ χάλαζα κατὰ τόπον. τὸ δὲ φθινόπωρον · πνεύματα λάβρα καὶ σφοδρά, βλάβη σίτου, καρπός, βοσκημάτων καὶ τετραπόδων φθορά, καὶ νόσοι, ἀλλ' οὐ φθαρήσονται. καὶ ἀκρὶς πολλή, κατάπνοια καὶ βῆχος, πνιγή τε καὶ ἐπὶ μῆνας δύο. ἡ δὲ κύουσα κινδυνεύσει.

Ἐὰν γεννᾶται ἐν Ἰχθύσιν, ὁ χρόνος ἔσται βέβαιος, εὐμενής, ὁ δὲ βορρεινὸς ἐναλλαγμένως κινήσει εἰς τὰς τῶν ὑποτεταγμένων πνοάς. τοῖς ἐμπροσθίοις μέρεσιν ὑποτέτακται αὐτῷ Ἀρμενία καὶ Ἐρυθρὰ θάλασσα, δεξιοῖς Καυκάσια ὄρη καὶ ἡ τῶν Ἀμαζόνων χώρα. ποταμοὶ δὲ θλίψουσιν αὐτούς <καὶ> λιμὸς σφόδρα. τὰ δὲ τεταγμένα μέρη <εἰς> τὸν κόρον ἥξουσι, Φρυγία, Γαλατία καὶ τὰ λοιπά.

F. 171. Περὶ σημείων Σελήνης.

Σεπτεμβρίῳ. — Ἐὰν σκοτωθῇ ἡ Σελήνη ἀπ' ἀρχῆς τοῦ χρόνου ἕως τεσσάρων μηνῶν, ἡ βροχὴ ὀλιγωθήσεται, καὶ ἐν πόλεσι πεῖνα ἔσται, καὶ κακὰ ἐν ἀνθρώποις φανήσονται, καὶ στρουθία πληθυνθήσονται.

Ὀκτωβρίῳ. — Ἐὰν σκοτωθῇ ἡ Σελήνη, εἰς τὴν δύσιν θανατικὸν καὶ πεῖνα ἔσται καὶ πόνος ὀφθαλμῶν.

Νοεμβρίῳ.— Ἐὰν σκοτωθῇ ἡ Σελήνη, ὀργὴ ἔλθῃ ἐπὶ πάντας ἀνθρώπους, καὶ ἐν πόλεσι πεῖνα ἔσται καὶ πόλεμοι μεγάλοι, καὶ ἄνθρωπος μέγιστος κατὰ τοῦ βασιλέως γενήσεται, καὶ ἐρεῖ αὐτῷ · ἐγὼ βασιλεύς εἰμι · καὶ μετὰ ταῦτα εἰς χεῖρας τοῦ βασιλέως ἐμπεσεῖται.

Δεκεμβρίῳ. — Ἐὰν σκοτωθῇ ἡ Σελήνη, χειμὼν μέγας καὶ ψῦχος καὶ ἄνεμοι μεγάλοι ἔσονται, καὶ εἰς τοὺς Μαλωΐτας καὶ Πέρσας θανατικὸν καὶ λιμὸς ἔσται.

Ἰανουαρίῳ.— Ἐὰν σκοτωθῇ ἡ Σελήνη, οἱ καρποὶ καὶ ἡ σπορὰ πληθυνθήσονται, καὶ βροχαὶ μεγάλαι ἔσονται, καὶ οἶνος καὶ ἔλαιον γενήσεται, καὶ ὁ χρόνος πάνυ καλός.

Φεβρουαρίῳ. — Ἐὰν σκοτωθῇ ἡ Σελήνη, ἡ βροχὴ ὀλιγοῦται, καὶ ψῦχος καὶ χάλαζα ἔσται καὶ θανατικὸν εἰς τοὺς βόας, καὶ τὰ κτήνη γενήσονται, καὶ ὀψάρια πληθυνθήσονται, καὶ ἀκρὶς φανήσεται, καὶ φόβος ἔσται.

---

11 *εἰς* addidi 13 ss. Cf. *Cat.* VII, 60 (26, f. 164) ; VIII, III, 34 (44, f. 328). 15 *χρόνου* = *ἐνιαυτοῦ* 26 Leg. *Ἰσμαηλίτας*? 33 *γεννήσονται* cod.

Μαρτίῳ. — *Ἐὰν σκοτωθῇ ἡ Σελήνη, ὁ χρόνος καλὸς καὶ σπορὰ καὶ καρποὶ καλοί, καὶ οἱ ἄνθρωποι ἀγαλλιάσονται, ὅτι εἴσοδος εἰς πάντα καλή, καὶ ἐν ἀρχῇ τοῦ χρόνου βροχαὶ καλαί, καὶ εἰς τὸ τέλος τοῦ χρόνου ὀλιγωθήσονται.*

Ἀπριλίῳ. — *Ἐὰν σκοτωθῇ ἡ Σελήνη, οἱ καρποὶ ὀλιγωθήσονται καὶ τραύματα καὶ ψῶραι καὶ πόνοι ἐν ἀνθρώποις γενήσονται, καὶ ἐν χώρᾳ Περσίδος θανατικὸν ἔσται, καὶ εἰς τοὺς Ἄραβας πεῖνα καὶ πόνοι πολλοὶ ἔσονται, καὶ βασιλεὺς φεύγει, ἀλλ' ἐξελήσει.*

Μαΐῳ. — *Ἐὰν σκοτωθῇ ἡ Σελήνη, πεῖνα ἔσται καὶ ἀρρωστία ἐν Περσίδι καὶ θλῖψις, βροχαὶ πολλαὶ ἔσονται, καρποὶ δὲ γῆς καὶ θαλάσσης πληθυνθήσονται.*

Ἰουνίῳ. — *Ἐὰν σκοτωθῇ ἡ Σελήνη , ὁ βασιλεὺς βουλὴν ποιήσει κατὰ τῶν ἀρχόντων αὐτῶν, καὶ τὸν πλοῦτον αὐτῶν λήψεται, καὶ πλούσιοι καὶ πένητες ταπεινωθήσονται, καὶ εἰς Ἀραβίαν φόνοι πολλοὶ ἔσονται, καὶ ἀκρὶς φάγῃ τοὺς καρπούς.*

Ἰουλίῳ. — *Ἐὰν σκοτωθῇ ἡ Σελήνη, <ἐν> Περσίδι κακὰ φανήσεται, καὶ μεγάλοι Περσίδος κατὰ τοῦ βασιλέως βουλὴν ποιήσουσι, καὶ ἐκ τούτων ἐξελήσει, καὶ τοὺς ἐχθροὺς αὐτοῦ φονεύσει.*

Αὐγούστῳ. — *Ἐὰν σκοτωθῇ ἡ Σελήνη, πολὺς λαὸς φονευθήσεται, καὶ θανατικὸν ἐν ἀνθρώποις ἔσται.*

F. 179. *Περὶ γεωργίας.*

Τινὲς φασὶν αὐξανομένης τῆς Σελήνης χρὴ φυτεύειν, φθινούσης δὲ οὔ. ἄλλοι · ἀπὸ τετάρτης ἕως ὀκτωκαιδεκάτης. ἄλλοι παραιτοῦνται ἀπὸ πεντεκαιδεκάτης μέχρι τῆς εἰκοστῆς φυτεύειν. ἡ δὲ ἀκριβὴς καὶ διὰ πείρας διδασκαλία · ὑπὸ γῆν οὔσης τῆς Σελήνης φυτεύειν χρή.

Κριῷ. — *Σελήνης οὔσης ἐν Κριῷ συμφέρει φυτεύειν, σπείρειν σηκούς, παρασκευάζειν γῆν ἀργήν, βωλοστροφεῖν καὶ ἐξημεροῦν · ἔσται γὰρ ταχέως κάρπιμος.*

---

6 *τραυματίαι* cod. 9 cf l. 19 14 *αὐτῶν* cod. ; an *αὐτοῦ* ?
16 *φάγει* cod.

23 Cf. *Geopon.* I, cap. 6 (p. 11) ; l. 4 sqq. cf. *Geopon.* III, 11, p. 87. — Margini duodecim Signa adpicta sunt, quae totis litteris scripsi.

Ταύρῳ. — Σελήνης οὔσης ἐν Ταύρῳ συμφέρει γεωργικὰ πράγματα ἁπλῶς πράττειν πάντα, ἐργολαβίας δὲ ἢ μισθώσεως γεωργικῆς ἐπιλαβέσθαι οὐ συμφέρει.

Διδύμῳ. — Σελήνης οὔσης ἐν Διδύμῳ κάλλιστον πάντα γεωργικὰ πράττειν, σπείρειν τε καὶ φυτεύειν.

Καρκίνῳ. — Σελήνης οὔσης ἐν Καρκίνῳ συμφέρει κήπους ἐργάζεσθαι, κατωρυγιάζειν, ἀργὴν γῆν ἡμεροῦν.

Λέοντι. — Σελήνης οὔσης ἐν Λέοντι συμφέρει σπείρειν σῖτον καὶ κριθὰς μόνον, ἄλλο δὲ οὐδέν.

Παρθένῳ. — Σελήνης οὔσης ἐν Παρθένῳ συμφέρει σπείρειν παντοῖα εἴδη καὶ φυτεύειν παντοῖα φυτὰ πλὴν ἀμπέλου.

Ζυγῷ. — Σελήνης οὔσης ἐν Ζυγῷ συμφέρει γεωτομεῖν, σπείρειν, φυτεύειν πᾶν φυτόν.

Σκορπίῳ.— Σελήνης οὔσης ἐν Σκορπίῳ συμφέρει σπείρειν· ἔσται γὰρ πολυκαρπία. συμφέρει δὲ καὶ γεωμετρεῖν.

Τοξότῃ. — Σελήνης οὔσης ἐν Τοξότῃ οὐ δεῖ σπείρειν τὸ οἰονοῦν σπέρμα, συμφέρει δὲ μάνδρας καὶ συκᾶς κατασκευάζειν, ἔτι δὲ καὶ ἀχυρμιὰς ποιεῖν καὶ χορτοκοπεῖν καὶ τὰ τοιαῦτα.

Αἰγοκέρωτι. — Σελήνης οὔσης ἐν Αἰγοκέρωτι συμφέρει πᾶσαν ἀγέλην κτηνῶν εἰς ἕτερον τόπον μεθιστάναι, οἷα γίνεται πολλάκις διὰ χειμαδεῖα καὶ διὰ ψυχρὰ ὕδατα ἐν θέρει.

Ὑδροχόῳ. — Σελήνης οὔσης ἐν Ὑδροχόῳ συμφέρει ἀροτριᾶν, γεωμετρεῖν, φυτεύειν.

Ἰχθύσι. — Σελήνης οὔσης ἐν Ἰχθύσι συμφέρει γεωργεῖν καὶ ἀμπελουργεῖν.

Σελήνης οὔσης μετὰ Διὸς ἢ Ἀφροδίτης ἢ Ἑρμοῦ τὰ εἰρημένα ἀγαθὰ πάντα ἐφ' ἑκάστου τῶν ζῳδίων πολλαπλασιάζει, τὰ δὲ κακὰ μειοῖ. μετὰ δὲ Κρόνου ἢ Ἄρεως ἔμπαλιν τὰ μὲν ἀγαθὰ σμικρύνει καὶ ἀμαυροῖ, τὰ δὲ κακὰ ἐπαύξει.

F. 179v. ***Περὶ γάμου.***

Τοξότῃ, Ὑδροχόῳ, Ἰχθύσι. — Σελήνης οὔσης ἐν Τοξότῃ, Ὑδροχόῳ καὶ Ἰχθύσι ὁ γήμας ὠφεληθήσεται· ἔσται γὰρ ἡ γυνὴ πραεῖα καὶ φρονίμη.

17 *συκὰς* cod. 18 *ἀχυρμιᾶς* cod. 20 *πᾶσαν εἰς* cod. *μεθιστάνειν* cod.

30 sqq. Margini duodecim signa adpicta sunt, quae totis litteris scripsi.

Κ ρ ι ῷ. — Σελήνης οὔσης ἐν Κριῷ ὁ γήμας βλαβήσεται · ἔσται γὰρ ἡ γυνὴ ἀκατάστατος, παλίμβουλος, ἄστοργος, τὸν ἄνδρα καταλιποῦσα.

Τ α ύ ρ ῳ. — Σελήνης οὔσης ἐν Ταύρῳ ὁ γήμας βλαβήσεται · ἔσται γὰρ ἡ γυνὴ μοιχαλίς, πολύκοινος, λυπηρά.

Δ ι δ ύ μ ῳ. — Σελήνης οὔσης ἐν Διδύμῳ ὁ γήμας ἐν τῇ δευτέρᾳ ἡμέρᾳ χαρήσεται · ἔσται γὰρ ἡ γυνὴ οἰκουρός.

Κ α ρ κ ί ν ῳ. — Σελήνης οὔσης ἐν Καρκίνῳ οὐ δεῖ γαμεῖν · ἡ γὰρ γυνὴ ταχέως καταλείψει τὸν ἄνδρα ὑβρίσασα.

Λ έ ο ν τ ι. — Σελήνης οὔσης ἐν Λέοντι οὐ δεῖ γαμεῖν · ἔσται γὰρ ἡ γυνὴ ὑπερήφανος, ὀργίλη τῷ ἀνδρί, ἀναιδής, μήτε λόγῳ πειθομένη μήτε ἔργῳ τῷ ἀνδρί, ἀλλὰ λοιδοροῦσα καὶ ὀνειδίζουσα αὐτόν, πολλάκις δὲ τύπτουσα καὶ τῶν τριχῶν αὐτοῦ δρασσομένη.

Π α ρ θ έ ν ῳ. — Σελήνης οὔσης ἐν Παρθένῳ χήραν γῆμαι δεῖ, παρθένον δὲ οὐδαμῶς.

Ζ υ γ ῷ. — Σελήνης οὔσης ἐν Ζυγῷ ἐλευθέραν οὐ δεῖ γῆμαι ἀλλὰ δούλην παλλακίδα κτήσασθαι · καὶ γὰρ ὁ Ζυγὸς μοιχείαν ἐπιφέρει, καὶ διὰ τοῦτο εὐαπάλλακτος μὲν γίνεται ἡ παλλακίς, δυσαπάλλακτος δὲ ἡ ἐλευθέρα.

Σ κ ο ρ π ί ῳ. — Σελήνης οὔσης ἐν Σκορπίῳ ἐν μὲν τῇ πρώτῃ ἡμέρᾳ παρθένον δεῖ γῆμαι · ἔσται γὰρ πραεῖα καὶ φρονίμη, ἐν δὲ τῇ δευτέρᾳ καὶ τῇ τρίτῃ οὐ δεῖ γῆμαι ὅλως · μοιχεύσεται γὰρ καὶ ὑπὸ δούλων ἡ γυνή.

Α ἰ γ ο κ έ ρ ω τ ι. — Σελήνης οὔσης ἐν Αἰγοκέρωτι τὸν πρωτόγαμον ἄνδρα οὐ δεῖ γῆμαι, τὸν δὲ δευτερογαμοῦντα δεῖ, καὶ μάλιστα ἐὰν ᾖ καὶ ἡ γυνὴ χήρα.

Ὑ δ ρ ο χ ό ῳ. — Σελήνης οὔσης ἐν Ὑδροχόῳ ἀνεπιτήδειον γῆμαι.

Ἰ χ θ ύ σ ι. — Σελήνης οὔσης ἐν Ἰχθύσι τὰ μὲν ἄλλα καλὸς ἔσται ὁ γάμος, ἡ μέντοι γυνὴ μαχίμη καὶ λάλος ἔσται.

Σελήνης συνοδευούσης τῷ Ἡλίῳ οὐ δεῖ γῆμαι, ἀλλ' οὐδὲ πανσελήνου οὔσης.

Σελήνη μετὰ ἀγαθοποιῶν, Διός, Ἀφροδίτης καὶ Ἑρμοῦ, ἀγαθὸν ποιεῖ τὸν γάμον καὶ ὠφέλιμον, μετὰ δὲ τῶν κακοποιῶν, Κρόνου καὶ Ἄρεως, τοὐναντίον.

---

5 λυπαρά cod.

EXCERPTA EX CODICE 10 (Scorial. I. Φ, 5).

Ex « Libro Mysteriorum » Apomasaris.

(E lib. I) F. 222. *νε'. Περὶ καταρχῆς διδασκαλίας.*

Εἰ βούλει τὴν καταρχὴν εὑρεῖν εἰς τὸ μανθάνειν γράμματα ἢ ἕτερόν τι μάθημα, ποίησον τὴν Σελήνην συσχηματιζομένην τῷ Ἑρμῇ, καὶ ἵνα ὦσιν ἀμφότεροι ἀκάκωτοι· ἔστωσαν δὲ ὡροσκοποῦντες οἱ Δίδυμοι ἢ ἡ Παρθένος· ἔστω δὲ ὁ Ἑρμῆς ἑῷος τε καὶ βορρᾶν ἀναβαίνων, καὶ μὴ ἔστω ἀναποδίζων, μήτε μὴν ἐν τῷ ἰδίῳ ταπεινώματι, μήτε κεκακωμένος. ποίησον δὲ καὶ τὸν οἰκοδεσπότην τοῦ Ἑρμοῦ τοιουτοτρόπως, μὴ ἔστω δὲ ἡ Σελήνη νότον καταβαίνουσα ἢ μειουμένη τοῖς φωσίν· ἀργίαν γὰρ ἐν τῇ μαθήσει, εἰ οὕτως ἔχει, ἐμποιεῖ. εἰ δὲ μὴ δυνηθῇς ἐν καταρχῇ τὴν Σελήνην ἀγαθυνομένην ποιῆσαι, ποίησον αὐτὴν καὶ τὸν κακοῦντα ἀστέρα αὐτὴν ἀποκεκλικότας.

F. 230, *πθ'. Περὶ τοῦ γνῶναι περὶ τίνος μέλλει σε ἐρωτᾶν.*

Εἰ βούλει γνῶναι τὴν ἐρώτησιν, ἴδε ὅτε γένηται ἡ ἐρώτησις ἐν νυκτί, καὶ τύχῃ ὁ κλῆρος τῆς Τύχης ἐν τῷ δωδεκάτῳ τόπῳ, καὶ ὁ Ἥλιος καὶ ἡ Σελήνη ἐν τῷ ἕκτῳ τόπῳ, καὶ ὁ ὁριοκράτωρ αὐτῶν μήτε ἐν ἰδίῳ οἴκῳ ᾖ, μήτε ἐν ὑψώματι, μήτε ἐν τριγώνῳ, μήτε ἐν ὁρίῳ, ἔστιν ἡ ἐρώτησις περὶ δούλου ἢ δούλης. ὅτε δὲ τύχῃ ἡ Σελήνη μετὰ τοῦ κλήρου τῆς Τύχης ἢ ἐν τῷ ἕκτῳ τόπῳ ἢ ἐν τῷ δωδε-

---

A = Angelicus 29 (C. 4, 8) ; a = Ambros. B. 38 sup. ; S = Scorialensis I. Φ. 5.

1 sqq. Vd. *A*, f. 19v ; a, f. 10v. 9 *τοῖς φωσίν* Aa, *τῷ φωτί* S 10 *οὕτω* Aa, *οὕτως* S 12 *ἀποκεκλικότας* Aa, *ἀποκεκλεικότας* S 13 sqq. A, f. 29 ; a, f. 18 15 *Εἰ βούλει — ἴδε* S, om. Aa *ὅτε* SA, *ὅταν* a ; et ita saepius *ἐν* om. A 16 *τῆς Τύχης* Sa, *τῆς Σελήνης* per signum A 18 *ᾖ*] in codd. *ἐστι* . *ἐν* om. A 20 *ἢ* Aa om S.

κάτω, καὶ ἐφορᾶται παρὰ τοῦ Κρόνου καὶ Ἄρεος, ἔστιν ἡ ἐρώτησις περὶ νοσοῦντος ἢ φαρμακωμένου. εἰ δὲ ἐφορᾶται παρὰ τοῦ Διὸς ἢ Ἀφροδίτης, ἀπαλλαγήσεται τῆς νόσου.

Ἄλλως.

Φησὶ δὲ ὁ Δωρόθεος· Ἴδε τὸν κλῆρον τῆς Τύχης, καὶ εἴπερ εὕροις τοῦτον ἐν τῷ ὡροσκόπῳ, ἐρωτᾷ περὶ ἑαυτοῦ ἢ τῆς ἰδίας πατρίδος ἢ πράγματος ἀνήκοντος αὐτῷ. εἰ δέ εὕροις τὸν κλῆρον τῆς Τύχης ἐν τῷ δευτέρῳ τόπῳ, ἐρωτᾷ περὶ πράγματος ἢ ἀγροῦ ἢ κοινωνίας ἢ διαθήκης ἢ ἀμφιβολίας. εἰ δέ ἐστιν ἐν τῷ τρίτῳ τόπῳ, ἐρωτᾷ περὶ ἀδελφῶν ἢ φίλων ἢ συγγενῶν ἢ γαμβρῶν ἢ περὶ ὀνείρων ἢ βασιλικῶν πραγμάτων ἢ ἀποδημίας. εἰ δέ ἐστιν ἐν τῷ τετάρτῳ τόπῳ, ἐρωτᾷ περὶ ἀκινήτου ὑποστάσεως, οἷον οἴκων καὶ κτημάτων. εἰ δέ ἐστιν ἐν τῷ πέμπτῳ τόπῳ, ἐρωτᾷ περὶ τέκνων ἢ πλούτου ἢ μεταβάσεως ἢ περὶ χαρισμοῦ γυναικός. εἰ δὲ ἐν τῷ ἕκτῳ, περί τινος νόσου ἐν τῷ ἰδίῳ σώματι ἢ περὶ δούλων ἢ περὶ ἀρρωστίας ἢ περὶ δαιμονιζομένου ἢ μαγευμένου ἢ ἐμπρησμοῦ ἢ καταποντισμοῦ ἢ μεταβάσεως ἀπὸ τόπου εἰς τόπον. εἰ δὲ ἐν τῷ ἑβδόμῳ τόπῳ, περὶ γάμου ἢ περὶ γυναικῶν ἢ περὶ ἀπωλείας πραγμάτων ἢ θανάτου ἢ ἀποδημίας ἢ φιλονεικίας γυναικῶν. εἰ δέ ἐστιν ἐν τῷ ὀγδόῳ, περὶ κληρονομίας ἢ ἀρρωστίας ἢ τινος παλαιοῦ πράγματος ἢ φιλονεικίας ἢ δούλων. εἰ δὲ ἐν τῷ ἐννάτῳ, περὶ ἀποδημίας ἢ γραμμάτων ἢ παλαιῶν πραγμάτων ἢ βιβλίων ἢ ὀνείρων ἢ περὶ ἀστρονομικῶν ὑποθέσεων ἢ περὶ βασιλέων. εἰ δὲ ἐν τῷ δεκάτῳ, περὶ δόξης καὶ πράξεως καὶ γνώσεως καὶ τιμίων πραγμάτων ἢ περὶ γυναικῶν καὶ τέκνων ἢ ἐξουσιαστοῦ. εἰ δὲ ἐν τῷ ἑνδεκάτῳ,ἐρωτᾷ περὶ φίλων καὶ ὁμιλίας ἀρχόντων. εἰ δὲ ἐν τῷ δωδεκάτῳ, περί τινος πράγματος, ἐν ᾧ πέπτωκεν ἔναγχος, ἢ συμφορᾶς ἢ κλοπῆς ἢ περὶ ἀποδημίας ἢ ζημίας ἢ περὶ

---

2 *φαρμακωμένου* Aa (= *πεφαρ.*) *φαρμακουμένου* S — 6 *ἑαυτοῦ* Aa, *αὐτοῦ* S 13 *τόπῳ* S, om. Aa 14 *πλούτου* a, *πλούτων* S, *πλουτ* A 15 *ἕκτω* aS, *ἕκτω τόπω* A 16 *δαιμονιζομένου* SA, *δαιμονιζομένων* a *μαγευμένου* A, *μεμαγευμένου* a, *μαγευομένου* S *ἐμπρησμοῦ ἢ καταποντισμοῦ* AaS ; sed S n marg., in textu *ἐπτησμοῦ*, om. *ἢ καταπ.* 18 *γάμου* Aa, *γάμων* S 19 *πραγμάτων* S, *πράγματος* Aa

δούλων ἢ περί τινος βουλευομένου ἀποστασίαν ποιῆσαι ἢ περὶ τετραπόδων ζῴων.

Καὶ εἴπερ ἐστὶν ὁ κλῆρος τῆς Τύχης ἐν ἀρρενικῷ ζῳδίῳ, περὶ ἀνδρῶν ἐστιν ἡ ἐρώτησις· εἰ δ' ἐν θηλυκῷ, περὶ γυναικῶν. εἰ δέ ἐστιν ὁ κλῆρος τῆς Τύχης ἐν τῷ τρίτῳ τόπῳ, καὶ συνυπάρχει τούτῳ κακοποιός, οἱ φίλοι τοῦ ἐρωτῶντος ἐχθροὶ αὐτοῦ γενήσονται· καὶ εἰ μὲν δίσωμόν ἐστι τὸ ζῴδιον, ἀρχῆθέν ἐστιν ἡ ἔχθρα καὶ ἐπεκτανθήσεται.

Ἄλλως.

Τινὲς εἶπον· ἴδε τὸ δωδεκατημόριον τῆς Σελήνης ἐν ποίῳ ζῳδίῳ πίπτει, καὶ εἴπερ εὕροις τοῦτο ἐν τετραπόδῳ ζῳδίῳ, ἔστιν ἡ ἐρώτησις περὶ τετραπόδων, καὶ μάλιστα εἰ καὶ ὁ ὁριοκράτωρ αὐτοῦ τύχῃ ἐν τετραπόδῳ ζῳδίῳ· ἐὰν δὲ πέσῃ ἐν ἀνθρωπομόρφῳ ζῳδίῳ, ἐρωτᾷ περί τινων ἀνθρώπων καὶ τῶν κατὰ αὐτοὺς πραγμάτων· εἰ δὲ ἐν γεώδει, ἐρωτᾷ περὶ ἐγγαίων καὶ οἴκου καὶ οἰκοδομημάτων· εἰ δὲ ἐν ὑδατώδει, ἐρωτᾷ περὶ ὑδάτων καὶ πλοίων καὶ τῶν ἐν τοῖς ὕδασιν ἀναστρεφομένων.

F. 227v. *ρια'. Περὶ ἡνιόχων τίς νικήσει.* (1)

Εἰ ἐρωτηθῇς παρά τινος περὶ ἡνιόχων ὁποῖος νικήσει, ἔχει δὲ ὁ ἐρωτῶν ἵππον ἐν τοῖς τρέχουσιν ἵπποις, εἴ γε δὴ καὶ ὑπάρχει δήμαρχος ἢ ἡνίοχος ὁ ἐρωτῶν ἢ φροντίζει ἵππου, ἴδε τὸν διέποντα, καὶ εἰ ὡροσκοπεῖ, νικήσει ὁ ἵππος αὐτοῦ· εἰ δὲ μεσουρανεῖ, δεύτερος ἔλθῃ· ὡσαύτως καὶ εἰ ἐν τῷ ἑνδεκάτῳ τόπῳ ὑπάρχει καὶ ἐν τῷ τρίτῳ. εἰ δὲ ἐν τῷ ἐννάτῳ, μέσος ἐλεύσεται. εἰ δὲ ἐν τῷ τετάρτῳ, ἔσχατος, μὴ ἔχων ἕτερον κατόπιν αὐτοῦ ἵππον. εἰ δὲ ὁ διέπων ἐστὶν ἐν τῷ ἰδίῳ ταπεινώματι, δειλιάσει ὁ ἔφιππος ἡνίοχος ἐν τῷ

---

1 *τινος* Aa, *τινων* S 6 *κακοποιός* scil. *ἀστήρ* 7 *δίσσωμον* a 19 sqq. A, f. 37 ; a f. 24v. 20 *τινος* AS, *τινων* a *ὁποῖος* AS *τίς* a 24 *ἔλθῃ* aS, *ἔλθοι* A 25 *ἐν τῷ τρίτῳ* S, *τῷ τρ.* Aa

---

(1) De hippodromo, cf. quae *Cat.* VIII, 1, p. 196, congessimus et quae disseruit Wuilleumier, *Mélanges Ec. française de Rome*, XLIV, 1927, p. 1 ss.

δρόμῳ ἐκείνῳ, καὶ πεσεῖται ἀπὸ τοῦ ἵππου. εἰ δὲ καὶ ἐπιβλέπουσι τὸν διέποντα κακοποιοὶ ὄντα ἐν τῷ ἰδίῳ ταπεινώματι, θλασθήσεται μέρος τοῦ σώματος αὐτοῦ, οὗ κυριεύει τὸ ζῴδιον ἐν ᾧ ὑπάρχει ὁ διέπων. εἰ δὲ τὸν τοιοῦτον διέποντα ἐπίδωσιν ἀπὸ τετραγώνου ἢ συνόδου ἢ διαμέτρου ὄντα ἀπὸ τοῦ ἰδίου οἴκου ἐν τῷ ὀγδόῳ τόπῳ, πεσὼν ὁ ἐλαύνων ἀπὸ τοῦ ἵππου αὐτοῦ θανεῖται. καὶ χεῖρον ἔσται τὸ τοιοῦτον, ἐὰν ὁ κύριος τοῦ ζῳδίου, ἐν ᾧ ἐστιν ὁ διέπων, καὶ ἡ Σελήνη, κεκακωμένοι ὦσιν.

ριβ'. Περὶ τοῦ μὴ ἔχοντος ἄλογον καὶ ἐρωτῶντος τίς νικήσει. [ζήτει καὶ τὰ λοιπὰ κεφάλαια εἰς τὸ ἕτερον βιβλίον].

Εἰ ἐρωτηθῇς περὶ τούτου, ἴδε τὸν κύριον τοῦ ὡροσκόπου, ἤγουν τὸν διέποντα, καὶ εἴ ἐστιν ἐν ὡροσκόπῳ, ἢ ὡροσκοπεῖ τις τῶν ἀστέρων ἢ μεσουρανεῖ ἢ ἀγαθοδαιμονεῖ, ἐκεῖνος νικήσει ὁ ἔχων τὸ χρῶμα τοῦ ἀστέρος ἐκείνου. καὶ εἴ ἐστιν ὁ δηλῶν ἀστὴρ τὴν νίκην ἐν τῷ ἰδίῳ ὑψώματι ἢ τῷ οἴκῳ ἢ τῷ ὁρίῳ ἢ τῷ δεκανῷ, ἔσται ὁ ἵππος ἐκεῖνος τῶν περιφήμων καὶ περιβοήτων· εἰ δὲ μὴ οὕτως ἔχει, τῶν εὐτελῶν.

(Ex lib. II). F. 261. ξ' Ὅτι ἀκριβεστέρα ἐστὶν ἡ μέθοδος τῆς ἀκτινοβολίας τοῦ Μασάλλα τῆς ἀκτινοβολίας τοῦ Πτολεμαίου, καὶ ὅτι αἱ ἰσόμοιροι ἀκτινοβολίαι ἀνήκουσι τοῖς οἰκοῦσι τὸν ἰσημερινὸν κύκλον.

Εἶπεν ὁ Σαδᾶν ὅτι· ἡ λεγομένη ἀκτινοβολία κατὰ ποίαν μέθοδόν ἐστιν ἀληθής; ὁ δὲ εἶπεν· κατὰ τὴν μέθοδον τοῦ Πτολεμαίου· ἀκριβεστέρα δ' ἐστὶν ἡ μέθοδος τοῦ Μασάλλα, ᾗ δὲ καὶ χρῶμαι. εἶπον δὲ τῷ Ἀπομάσαρ ὅτι τινὲς ἰσομοίρως λαμβάνουσι τὰς ἀκτινοβολίας, καὶ οὐ χρῶνται ταῖς μεθόδοις ταῖς περὶ αὐτῶν. ὁ δὲ εἶπεν· ἀληθῶς

---

1 ἐπβλέπουσι Aa, ἐπιβλέπει S 2 κακοποιοὶ Aa, κακοποιὸς S
4 ἐπίδωσιν οἱ κακοποιοὶ A ἐπιδίδωσι, om. οἱ κακ. S τετραγώνου A, τοῦ τετρ. aS
10 ζήτει — βιβλίον om. A, ζήτει τὰ λοιπὰ ἔμπροσθεν ἐν τοῖς ἄλλοις βιβλίοις a 12 τοῦ ὡροσκόπου A, τῆς ὥρας aS 13 ἐν aS ἐν τῷ A τις τῶν ἀστέρων S, τις ἀστὴρ a, ἕτερος ἀστὴρ A
19 sqq. A, f. 50v ; a, f. 42v.
27 ἰσομοίρως Aa ἰσομοιρικῶς S

λέγεις καὶ ψευδῶς· ἐπὶ μὲν γὰρ τῶν οἰκούντων τὸν ἰσημερὸν κύκλον, ἀληθῶς λέγεις, καὶ ἰσομοίρως δεῖ λαμβάνειν τὰς ἀκτινοβολίας· ἐπὶ δὲ ταῖς ἡμετέραις χώραις ἁρμοδίως χρήσασθαι τῇ μεθόδῳ τῶν ἀκτινοβολιῶν.

F. 274. ρξβ'. *Περὶ ὧν σημαίνει ἕκαστος τῶν ἀστέρων ἀπὸ ἀγαθοποιοῦ ἢ κακοποιοῦ συσχηματιζόμενος ἐν ἐναλλαγῇ χρόνου.*

Σελήνη μετὰ Κρόνου. Εἰ δὲ ἐν ἐναλλαγῇ χρόνου γένηται τὸ τοιοῦτον σχῆμα, σημαίνει νόσους μελαγχολικὰς καὶ χαλασμοὺς καὶ πτῶσιν ὀρνέων καὶ χιόνας καὶ παγετούς· καὶ πολλοὶ τῶν ὁδοιπορούντων ἐν χιόνι χωσθήσονται. εἰ δὲ διαμετρεῖ ὁ Κρόνος, ἀπὸ τοῦ δεκάτου τόπου ἐν ἔτους τινὸς ἀνθρώπου ἐναλλαγῇ, σημαίνει βλάβην παρὰ ἐξουσιαστῶν καὶ ἀποδημίας κινδυνώδεις καὶ φυλακὰς καὶ φόβους παρὰ βασιλέων. εἰ δὲ συνάπτει τῷ Κρόνῳ ἐν ἐναλλαγῇ, σημαίνει δόλους καὶ κακουργίας καὶ ἐπιθυμίαν οἰκοδομιῶν.

Σελήνη μετὰ Διός. Εἰ δὲ ἐν τῇ ἐναλλαγῇ τοῦ κοσμικοῦ ἔτους συνοδεύει ἡ Σελήνη τῷ Διί, σημαίνει ἀγαθόν, ἔτι δὲ καὶ ἀνορθώσεις ἐκκλησιῶν καὶ ἐπιμέλειαν τῶν γραφῶν καὶ δοξολογίας καὶ ἑορτάς. εἰ δὲ τετραγωνίζει αὐτὸν ἡ Σελήνη, σημαίνει κρύψιν μυστηρίων. εἰ δὲ διαμετρεῖ τοῦτον, σημαίνει μάχας καὶ ἀντιλογίας καὶ διαλόγους περὶ πίστεως καὶ δογμάτων καὶ ὁμοίων. εἰ δ' ἐφορᾷ τούτον ἀπὸ τοῦ δεκάτου τόπου, σημαίνει προβολὴν κριτῶν καὶ ἀρχιερέων καὶ πρόνοιαν τῶν δογμάτων καὶ ὁμοίων· εἰ δὲ ἀπὸ τριγώνου ἢ ἑξαγώνου τούτῳ <συ>σχηματίζεται, σημαίνει ἔρευναν τῶν δογμάτων καὶ λύσιν τῶν ἠπορημένων ἐν ταῖς γραφαῖς.

---

1 *λεγ* AaS *ἐπὶ* Aa, *εἰ* S ; at in a : *ἐπὶ δὲ ταῖς ἡμετέραις χώραις ἁρμόζει χρήσασθαι τῇ μεθόδω τῶν ἀκτινοβολιῶν*

5 sqq. A, f. 60 ; a, f. 55.

6 *ἀπὸ* om. A. *συσχημ.* Aa, *σχηματ.* S 7 *ἐναλλαγῇ* Aa, *ἀλλαγῇ* S ; et l. 8 *γένηται* Aa, *γίνηται* S 12 *ἄνθρώπου*] Lege *κοσμικοῦ* 15 *κακουργίας* S, *κακουργίαν* Aa *ἐπιθυμίαν* Aa, *ἐπιθυμίας* S 17 *τῇ ἐναλλαγῇ* Aa, *ἀλλαγῇ* S 19 *ὀνορθώσεις* S, *ἀνόρθωσιν* Aa *δοξολογίας* S, *δοξολογίαν* a ; om. compendium A 21 *ἀντιλογίας* S, *ἀντιλογίαν* a, om. compendium A 25 *σχηματιζεται* codd., corr. cf. l. 6 et p. 173 l. 8 et 12 etc.

Σελήνη μετὰ Ἄρεως. Εἰ δὲ συνοδεύει ἡ Σελήνη τῷ Ἄρει κατὰ τὸν καιρὸν τῆς τοῦ κοσμικοῦ χρόνου ἐναλλαγῆς, σημαίνει πολέμους καὶ αἱματοχυσίας καὶ ψεύδη καὶ πλαστογραφίας. εἰ δὲ τύχῃ ἐπὶ γενέσεως ἀνθρώπου ἡ Σελήνη συνοδεύουσα τῷ Ἄρει ἐν τῷ Κριῷ, σημαίνει τὸν γεννηθέντα ὀλιγοζώητον, εἰ μή γ' ἐφορᾷ τοῦτον ἀγαθοποιός. εἰ δὲ ἐφορᾷ τοῦτον ἀπὸ τοῦ δεκάτου τόπου ἡ Σελήνη, σημαίνει δυναστείας καὶ ἀδικίας καὶ βίας. εἰ δὲ τούτῳ συσχηματίζεται ἀπὸ τριγώνου ἢ ἑξαγώνου σχήματος, σημαίνει ἀγῶνα περὶ τὰς ἐπικτήσεις καὶ τοὺς γάμους.

Σελήνη μετὰ Ἀφροδίτης. Εἰ δὲ συνοδεύει ἡ Σελήνη τῇ Ἀφροδίτῃ, σημαίνει μάχην γυναικῶν καὶ γάμους βιαίους καὶ παραβάσεις καὶ ἐπιορκίας. εἰ δὲ συσχηματίζεται αὐτῇ ἀπὸ τετραγώνου σχήματος, σημαίνει λαθραίας συνουσίας πρὸς γυναῖκας. εἰ δὲ ἀπὸ τοῦ δεκάτου τόπου συσχηματίζεται, δηλοῖ τὰς λαθραίας συνουσίας γενέσθαι φανεράς, καὶ ὡς ἐκ τούτου πομπὴν καὶ ἀχρειοσύνην. εἰ δὲ τριγωνίζει ἢ ἑξαγωνίζει ἡ Σελήνη τὴν Ἀφροδίτην, σημαίνει μουσικάς,μελῳδίας καὶ μετριάσματα καὶ ὀρχήσεις καὶ τὰ περαματικὰ καὶ συμπόσια ἐν κήποις καὶ τὰ ὅμοια.

Σελήνη μετὰ Ἑρμοῦ. Εἰ δὲ συνοδεύει ἡ Σελήνη τῷ Ἑρμῇ, σημαίνει ζήτησιν γνώσεως καὶ ἔρευναν τῶν ἀποκρύφων τῆς ἐπιστήμης, καὶ μάλιστα ὅτε τύχῃ ἐν τῷ ἑβδόμῳ τόπῳ ἢ ἐν τῷ ὑπογείῳ. εἰ δὲ ἐν τῷ δεκάτῳ τόπῳ τύχῃ ἢ ἐν τῷ ὡροσκόπῳ, φανερὰ ἔσται ἡ γνῶσις πλὴν μετὰ κόπου καὶ δυσχερείας. εἰ δὲ ἀπὸ τριγώνου ἢ ἑξαγώνου τούτῳ <συ>σχηματίζεται, εὐχερὴς γενήσεται ἡ γνῶσις,καὶ εἰ μὲν ἀγαθοποιῷ συναντᾷ, ἔσονται πάντως ἀγαθά, εἰ δὲ κακοποιῷ, εἰς τἀναντία.

Ἥλιος μετὰ Ἑρμοῦ. Εἶπον δὲ καὶ τοῦτο, ὅτι ἡ σύνοδος τοῦ Ἡλίου καὶ τοῦ Ἑρμοῦ κρύπτει τὰ μυστήρια, καὶ ἀφανέρωτον ποιεῖ τὴν σοφίαν καὶ τὰ μαθήματα,καλύπτει δὲ καὶ τὰς γραφὰς καὶ τὰς φήμας. εἰ δὲ ἐν τῷ ὡροσκόπῳ τύχωσιν ὅ τε Ἥλιος καὶ ὁ Ἑρμῆς συνοδεύοντες ἐπὶ γενέσεώς τινος, μαγείας ἀντιποιηθήσεται ὁ ἔχων τὸ τοιοῦτον γενέθλιον. εἰ δὲ ἐν τῷ δευτέρῳ τύχωσι,

---

1 *δὲ* om. Aa 3 *ψεύδη καὶ πλ.* A, *ψευδεῖς καὶ πλ.* S, *ψευδοπλαστογραφίας* a 6 *μή γ'* A, *μὴ* S 12 *παραβάσεως* a, *παράβασιν* AS 15 *γένεσθαι* aS, *γίνεσθαι* A *πομπὴ καὶ ἀχρειοσύνη* codd. Leg. *ἀρχιεφωσύνην*? 18 *περαματικὰ* AS, *παραμ.* a : vix sanum. 21 *ὅτε* AS, *ὅταν* a ; et saepius *τύχῃ* om. A 25 *συναντᾷ*] Leg. *συνάπτει*? cf. p. 174, l. 7. 30 *τύχωσι* Aa, *τύχῃ* S

σημαίνει ἐπιχείρησιν χρυσοποιίας. εἰ δὲ ἐν τῷ τρίτῳ τόπῳ, σημαίνει ἀσωτίαν καὶ παιδοφθορίαν. εἰ δὲ ἐν τῷ τετάρτῳ τόπῳ, σημαίνει λύπην παρὰ γονέων καὶ συγγενῶν.

Ἑ ρ μ ῆ ς μ ε τ ὰ Δ ι ό ς. Εἰ δὲ τύχῃ ἐπὶ γενέσεώς τινος ὁ Ἑρμῆς συνοδεύων τῷ Διί, σημαίνει ἔφεσιν τῆς γνώσεως καὶ τῆς σοφίας ἔτι δὲ καὶ τῆς ῥητορείας καὶ τῶν διαλεκτικῶν διαλέξεων καὶ γνῶσιν τῶν ἀπορρήτων. εἰ δὲ ὁ Ἑρμῆς συνάπτει τῷ Διὶ ἀπὸ τριγώνου ἢ ἑξαγώνου σχήματος, σημαίνει τινὰ ἐπιμελούμενον τῶν δογματικῶν καὶ φιλονεικοῦντα ἕνεκεν αὐτῶν.

Ἑ ρ μ ῆ ς μ ε τ ὰ Ἄ ρ ε ω ς. Εἰ δὲ τύχῃ ὁ Ἑρμῆς συνοδεύων τῷ Ἄρει, σημαίνει κλέπτας καὶ λῃστὰς καὶ παραχαράκτας καὶ πλαστογράφους. εἰ δὲ τριγωνίζει ἢ ἑξαγωνίζει ὁ Ἑρμῆς τὸν Ἄρη σημαίνει πολλὴν ἐπιμέλειαν τῆς χρυσοποιίας καὶ τῶν τεχνῶν τῶν διὰ πυρὸς εἰργασμένων.

Ἑ ρ μ ῆ ς μ ε τ ὰ Ἀ φ ρ ο δ ί τ η ς. Εἰ δὲ συνοδεύει ὁ Ἑρμῆς τῇ Ἀφροδίτῃ, φανεροῖ τὰς φήμας καὶ τὰς γραφὰς καὶ τὰ μυστήρια τῶν γυναικῶν καὶ τὰς παιδιὰς καὶ τὰς μελῳδίας, ποιεῖ δὲ καὶ πολλοὺς ὑετοὺς ἐν τῷ καιρῷ τῶν ὑετῶν.

Ἀ φ ρ ο δ ί τ η μ ε τ ὰ Ἡ λ ί ο υ. Ἡ δὲ σύνοδος τῆς Ἀφροδίτης μετὰ τοῦ Ἡλίου σημαίνει δυστοκίας καὶ ἐκτρωσμοὺς καὶ χολὴν γυναικῶν πρὸς τοὺς ἄνδρας καὶ πολλάκις καὶ χωρισμούς.

Ἀ φ ρ ο δ ί τ η μ ε τ ὰ Κ ρ ό ν ο υ. Ἡ δὲ σύνοδος τῆς Ἀφροδίτης πρὸς τὸν Δία σημαίνει σωφροσύνην τε γυναικῶν καὶ εὐεξίαν καὶ ἐπιθυμίαν μυριστικῶν καὶ μαργαριτῶν καὶ λίθων τιμίων.

Ἀ φ ρ ο δ ί τ η μ ε τ ὰ Ἄ ρ ε ω ς. Ἡ δὲ σύνοδος τῆς Ἀφροδίτης μετὰ τοῦ Ἄρεως σημαίνει πορνείας καὶ μοιχείας καὶ βλάβας γυναικῶν. εἰ δὲ τύχωσιν ἐν τῷ δεκάτῳ τόπῳ, τοσοῦτον ἀχρειωθήσονται αἱ γυναῖκες, ὥστε καὶ παρὰ βασιλεῦσιν θεατρίζεσθαι.

Ἥ λ ι ο ς μ ε τ ὰ Κ ρ ό ν ο υ. Ἡ δὲ σύνοδος τοῦ Ἡλίου πρὸς τὸν Κρόνον σημαίνει νόσους λοιμικοὺς καὶ εὐλοβίαν(?) καὶ τραύματα καὶ δόλους καὶ πανουργίας. εἰ δὲ τὸ τοιοῦτον σχῆμα τύχῃ ἐν τῷ δεκάτῳ τόπῳ, σημαίνει ἀνάγκας μεγάλας ὑποστήσεσθαι τὸ ὑπήκοον παρὰ τῶν ἐξουσιαστῶν. εἰ δὲ τύχῃ ἐν τῷ ἑβδόμῳ τόπῳ,

---

3 **λύπην** aS, **λυπ** A 6 **διαλεκτικῶν** S, **δογματικῶν** Aa 9 **φιλινικ.** aS 11 **κλέπτας** Aa, **κλέπτην** S **λῃστάς** a, **λῃσ** et **τ** supra **σ** scriptum A, **λῃστὴν** S 17 **δὲ** Aa, om. S ; et l. 9 **τε** a, om. AS 20 **τοῦ** om. A. 22 **Κρόνου**] Leg. **Δος** ; cf. 32 30 **πανοῦρ** et **Γ** supra **ρ** scriptum A 32 **τὸ** Aa, **τὸν** S et l. 2

ἀμφιβολίαι ἔσονται περὶ τοὺς ἀνθρώπους καὶ ἔριδες καὶ φιλονεικίαι.

Ἥλιος μετὰ Διός. Ἡ δὲ σύνοδος τοῦ Ἡλίου καὶ τοῦ Διὸς σημαίνει ἀδικίαν καὶ ἀφανισμὸν δικαιοσύνης καὶ βλάβας κριτῶν καὶ ἀπιστίαν. εἰ δὲ ἐν τῷ δεκάτῳ τόπῳ τύχωσιν, σημαίνει ἀδικίας βασιλέων πρὸς τὸ ὑπήκοον, καὶ λογίσονται τὰς ἀδικίας ὡς δικαιοσύνην. γενήσονται δὲ καὶ ἐμπρησμοί. εἰ δέ ἐστιν ἡ σύνοδος ἐν τῷ ἑβδόμῳ τόπῳ, γενήσονται παλαισμοί, σφαγαὶ καὶ ἀλλεπάλληλοι πόλεμοι.

Κρόνος μετὰ Διός. Ἡ δὲ σύνοδος τοῦ Κρόνου καὶ τοῦ Διὸς σημαίνει ἀγῶνας μεγάλους περὶ τοὺς ἀνθρώπους καὶ θανατικὸν πολὺ καὶ φιλονεικίας καὶ ἔριδας. καὶ εἴπερ τύχωσιν ἐν τῷ τετάρτῳ τόπῳ, φανερωθήσονταί τινες ψευδοπροφῆται προσκαλούμενοι τοὺς ἀνθρώπους ἐπὶ οἰκεῖον δόγμα ὡς ἀληθές, γενήσονται δὲ καὶ διάφοροι ἀποστασίαι. εἰ δὲ τύχωσιν ἐν τῷ δεκάτῳ τόπῳ, ἀνάγκας ὑποστήσονται οἱ ἄνθρωποι παρὰ τῶν ἐξουσιαστῶν καὶ λύπας καὶ ἀποδημίας καὶ φόβους καὶ ζημίας.

(E lib. III). *ρξε'. Περὶ τῶν σημασιῶν τῆς ἐπιστήμης.*

Εἰσὶν αἱ σημασίαι τῆς ἀστρονομίας διτταί, ἡ μὲν ἐπίπονος καὶ ἀναλλοίωτος, ἡ δὲ μεταβατικὴ καὶ ἐναλλοίωτος. καὶ βεβαία μέν ἐστι σημασία ἥ τε τῆς φύσεως τῶν ζῳδίων καὶ ἡ τῆς φύσεως τῶν ἀστέρων. ἀεὶ γὰρ τὰ πυρώδη ζῴδιά εἰσι πυρώδη,καὶ τὰ γεώδη εἰσὶ γεώδη, καὶ τὰ ὑδατώδη ὑδατώδη, καὶ τὰ ἀερώδη εἰσὶν ἀερώδη μὴ μεθιστάμενα τῆς ἰδίας φύσεως. τὸ αὐτὸ δὲ ἔστιν καὶ ἐπὶ τῶν ἀστέρων. ἀεὶ γὰρ ὁ Ἥλιος σημαίνει τοὺς βασιλεῖς καὶ τοὺς εὐγενεῖς καὶ τοὺς ἄρχοντας, ὁ δὲ Ζεὺς ἀεὶ σημαίνει τὰ τῆς πίστεως καὶ τοῦ δόγματος καὶ τῆς δικαιοσύνης καὶ τῆς εὐφροσύνης, καὶ τὴν ἀγαθοεργίαν καὶ τὴν εὐτυχίαν καὶ τὸν πλοῦτον καὶ τὰς ἐλπίδας. ὁ δὲ Ἄρης ἀεὶ σημαίνει τὰ στρατιωτικὰ πρόσωπα καὶ τὰ τῶν

---

4 *κριτῶν* (primo obtutu legi possit *κοιτῶν*), *κοιτῶν* aS 5 *ἀπιστίαν* S,*ἀπιστίας* Aa 7 *δὲ* a, *γ. γὰρ* AS 8 *παλαισμοὶ* S, sed lectio incertissima ; *πόλεμοι καὶ* Aa. 13 *φανερωθήσονται* AS, *εὑρεθήσονται* a

18 S, t. 276 ; A, f. 61 ; a, f. 56v.

21 *ἐναλλαίωτος* aS, *ἀναλλαίωτος* A 22 *ἡ τῆς* Aa, *τῆς* S 23 *εἰσὶν* S, om. Aa 28 *τῆς εὐφρ.* S, *τὰ τῆς εὐφρ.* Aa

πολέμων καὶ τὰ τῶν φόνων καὶ τοὺς ἀναιδεστάτους τῶν ἀνθρώπων καὶ τοὺς θυμοὺς καὶ τὰς ἀκαταστασίας καὶ τὰς ληστείας καὶ τὰς κλεψίας. ὁ δὲ Κρόνος σημαίνει τὰ περὶ τῶν ἐγγαίων καὶ τῶν οἰκοδομημάτων καὶ τὰ τῶν δούλων καὶ τὰ τῶν ὑποζυγίων καὶ τοὺς ποταμοὺς καὶ τοὺς πατέρας καὶ τοὺς πάππους. ἡ δὲ Ἀφροδίτη σημαίνει τὰς ἡδονὰς καὶ τὰς παιδιὰς καὶ τοὺς καλλωπισμοὺς καὶ τὰς μυρωδίας καὶ τὰ τῶν τέκνων καὶ γάμων.ὁ δὲ Ἑρμῆς σημαίνει τὴν παίδευσιν καὶ τὴν ἀγχίνοιαν καὶ τὴν γνῶσιν καὶ τὰς ψηφοφορίας καὶ τὰ σεκρετικὰ πράγματα καὶ τοὺς διαλόγους. ἡ δὲ Σελήνη τὰς φήμας καὶ τοὺς πρέσβεις καὶ τοὺς ἀποδήμους. ἡ δὲ ἑτέρα σημασία τῆς ἀστρονομίας ἀλλοιοῦται καὶ μεταβάλλεται, οἷον ἡ τοῦ ὡροσκόπου καὶ τοῦ ὅλου θέματος. μεθίσταται γὰρ τὸ θεμάτιον, καὶ μετατίθενται οἱ ἐν αὐτῷ ἀστέρες, καὶ ὁ ἐν τῷ ὡροσκόπῳ ὢν νυνὶ ἀστὴρ μετὰ καιρόν τινα γίνεται ἐν τῷ δευτέρῳ τόπῳ, καὶ μετὰ καιρὸν ἐν τῷ τρίτῳ, καὶ ἑξῆς ὁμοίως. ὁ μὲν γὰρ ὡροσκόπος σημαίνει τὰ κατὰ τὸ σῶμα καὶ τὰς καταρχάς, ὁ δὲ δεύτερος τόπος σημαίνει τὰ περὶ τοῦ πλούτου, ὁ δὲ τρίτος τὰ περὶ ἀδελφῶν, ὁ δὲ τέταρτος περὶ γονέων, ὁ δὲ πέμπτος περὶ τέκνων, ὁ δὲ ἕκτος περὶ νόσων, ὁ δὲ ἕβδομος περὶ γάμου, ὁ δὲ ὄγδοος περὶ θανάτου, ὁ δὲ ἔννατος περὶ ἀποδημίας, ὁ δὲ δέκατος περὶ ἐξουσίας ,ὁ δὲ ἑνδέκατος περὶ ἐλπίδων καὶ φίλων, καὶ ὁ δωδέκατος περὶ ἐχθρῶν.

ρος'. Περὶ κακώσεως ἀστέρων.

Γίνωσκε ὅτι κακοῦνται οἱ ἀστέρες πολυμερῶς. καὶ πρώτη μὲν κάκωσις αὐτῶν, ὅταν ὑπάρχωσιν ὕπαυγοι, εἶτα ὅταν τύχωσιν ἐν ταπεινώματι αὐτῶν, εἶτα ὅταν ἀναποδίζωσιν, εἶτα ὅταν συνοδεύωσιν κακοποιῷ καὶ ὑπάρχωσιν ὑπὸ τὴν αὐγὴν αὐτοῦ, εἶτα ὅταν τύχωσιν ἀποκεκλικότες, εἶτα ὅταν τύχωσιν ἐν τῷ ἐναντιώματι αὐτῶν, εἶτα ὅταν εὑρεθῶσιν ἐν τῇ κεκαυμένῃ ζώνῃ. ἔστι δὲ ἡ κεκαυμένη ζώνη ἀπὸ τῆς ἀρχῆς τοῦ Ζυγοῦ μέχρι τοῦ τέλους τοῦ

---

14 *τόπῳ* Aa, om. S 16 *δὲ* hic saepe om. Aa. 22 S f. 280 ; f. 63v ; a f. 60 24 *ὅταν* a, *ὅτε* AS et saepius *ὑπάρχωσιν* Aa *ὑπάρχουσιν* S 25-26 *συνοδεύωσιν* Aa, *συνοδεύουσιν* A S 26 *ὑπάρχωσιν* Aa, *ὑπάρχουσι* S 28 *αὐτοῦ* S, *αὐτῶν* a *ἡ* a, om. AS

Σκορπίου. γίνωσκε δ' ὅτι ὁ Ἥλιος βλάπτει τὰ μέγιστα τὴν Ἀφροδίτην καὶ τὴν Σελήνην· ἀμφότεραι γάρ εἰσιν ὑγραί, καὶ ὁ Ἥλιος διαφέρει αὐτῶν κατὰ τὴν κρᾶσιν· ξηρὸς γάρ ἐστιν καὶ θερμός. ὁ δὲ Κρόνος εἰ τάχα κατὰ τὴν ψύξιν διαφέρει τοῦ Ἡλίου, ἀλλ' οὖν συμφωνεῖ αὐτῷ κατὰ τὴν ξηρότητα. ὁ δὲ Ζεὺς συμφωνεῖ τῷ Ἡλίῳ κατὰ τὴν θερμότητα, διαφωνεῖ δὲ αὐτῷ κατὰ τὴν ὑγρότητα. καὶ γίνωσκε ὅτι ὁ Ἥλιος μάλιστα γίνεται ἐνδύναμος, ὅταν εὑρεθῇ ἐν τῷ Κριῷ, διότι ἐστὶν ὕψωμα αὐτοῦ. καὶ ὅτε ἔστιν ἐν τῷ τοιούτῳ ζῳδίῳ ὁμοιοῖ βασιλεῖ φιλοδικαίῳ καὶ φοβερῷ, ὅτε δὲ ἔστιν ἐν τῷ Ζυγῷ, ἔστιν ἐν τῷ ταπεινώματι αὐτοῦ, καὶ ὁμοιοῖ βασιλεῖ καταπεφρονημένῳ παρὰ τῶν ὑπηκόων αὐτοῦ. καὶ κακοῦται ὁ Ἥλιος ἀπὸ τοῦ Ζυγοῦ μέχρι τοῦ Τοξότου· τὰ γὰρ μεταξὺ ζῴδια ὀνομάζονται ταπείνωμα ταπεινωμάτων, διότι ὁ Ἥλιος κατέρχεται ἐν αὐτοῖς, καὶ πλησιάζει τῇ γῇ. καὶ ὅταν κακωθῇ τις τῶν ἀστέρων παρὰ τοῦ Ἡλίου, οὐ κακοῦται πολλὴν κάκωσιν διὰ τὸ εἶναι τὸν Ἥλιον ἐν τῷ τοιούτῳ τόπῳ ἀδύνατον. εἰ δὲ κακωθῇ τις τῶν ἀστέρων παρὰ τοῦ Ἡλίου ὄντος ἐν τῷ Κριῷ, πάνυ κακοῦται ὑπ' αὐτοῦ. ὅταν δὲ συνοδεύῃ ἀστὴρ τῷ Ἡλίῳ, καὶ ἐξέλθῃ ὁ ἀστὴρ ἀπὸ τῶν αὐγῶν τοῦ Ἡλίου, καὶ κακωθῇ παρὰ τοῦ Ἄρεως, ὁμοιοῖ ἀνδρὶ ἀπὸ πυρὸς σωθέντι καὶ λέοντι περιπεπτωκότι. εἰ δὲ ἐξέλθῃ ἀπὸ τῶν αὐγῶν τοῦ Ἡλίου ὁ ἀστήρ, καὶ κακωθῇ παρὰ τοῦ Κρόνου, ὁμοιοῖ ἀνδρὶ ἀπὸ ἀπὸ μεγάλης ἀνάγκης σωθέντι καὶ λάκκῳ περιπεπτωκότι. εἰ δὲ συναντήσει ἀστὴρ ἔξαυγος γενόμενος τῷ Διί, ὁμοιοῖ ἀνδρὶ ὀφιοδήκτῳ, ὅστις ὑπὸ ἐπῳδῷ θεραπεύεται, ἢ ἀνδρὶ νοσοῦντι, ὅστις ὑπὸ ἰατρῶν σωθήσεται. εἰ δὲ ὁ ἀστὴρ σωθῇ ἀπὸ τῶν αὐγῶν τοῦ Ἡλίου, καὶ σχηματισθῇ τῇ Ἀφροδίτῃ, ὁμοιός ἐστιν ταλαιπώρῳ καὶ πεινῶντι καὶ πολλὰς φροντίδας ἔχοντι, ὅστις τύχῃ μετὰ τὴν ταλαιπορίαν ἐκείνην βρωμάτων καὶ ποτῶν καὶ ἱματισμῶν καὶ εὐφροσύνων πραγμάτων.

(E lib. III) *μθ'. Περὶ ἀριθμῶν ἀστέρων.*

Ἔχουσιν δὲ οἱ ἀστέρες ῥητούς τινας ἀριθμούς, οἳ μὲν λέγονται

---

8 *τῷ* Aa, om. S *καὶ ὅτε* AS, *ἢ ὅταν* a 9 *ὁμοιοῖ* S, *ὁμοιεῖ* A, *ὁμοιοῦται* a ; et l. 10 et 19 et 22 18 *συνοδεύει* codd. 19 *καὶ κακωθῇ* AS, *κακωθεὶς* a *παρὰ* a, *περὶ* AS 20 *ἀπὸ* Aa, *ὑπὸ* S *ἐξέλθῃ* AS *ἐξέλθοι* a 21 *κακωθῇ* S, *καθὼς* Aa ; sed in A correctura. 22 *ὁμοιοῖ* S, *ὁμοιεῖ* A, *ὁμοιοῦται* a 27 *πεινῶντι* aS, *ταπεινῶντι* A 28 *ταλαιπωρίαν* Aa, *ταλαίπορον* S 30 S, f. 305^{v} A f. 83 ; a f. 84 31 *δὲ* Aa ; om. S.

φαρτάριοι, περὶ ὧν ἐνταῦθα ἁπλοικῶς διέξιμεν, τὰς δὲ τούτων αἰτίας ἐν ἑτέρῳ ἐγράφομεν βιβλίῳ. ἔστιν οὖν ὁ μὲν ἀριθμὸς τοῦ φαρταρίου τοῦ Ἡλίου ἔτη δέκα, τοῦ δὲ φαρταρίου τῆς Ἀφροδίτης ἔτη ὀκτώ, τοῦ δὲ Ἑρμοῦ ἔτη τρισκαίδεκα, τῆς δὲ Σελήνης ἔτη ἐννέα, τοῦ δὲ Κρόνου ἕνδεκα, τοῦ δὲ Διὸς δώδεκα, τοῦ δὲ Ἄρεως ἑπτά, τοῦ δὲ καταβιβάζοντος τρία, καὶ τοῦ ἀναβιβάζοντος δύο· ὁμοῦ πέντε καὶ ἑβδομήκοντα. ὁ δὲ ἀριθμὸς τῶν ἐτῶν αὐτῶν τετραχῶς λαμβάνεται. ἔχουσι γὰρ ἔτη ὑπερμεγέθη καὶ ἔτη μέγιστα καὶ ἔτη μέσα καὶ ἔτη ἐλάχιστα. καὶ τοῦ μὲν Ἡλίου τὰ ὑπερμεγέθη ἔτη εἰσὶν ,αυξα', τῆς δὲ Ἀφροδίτης ,αρνα', τοῦ δὲ Ἑρμοῦ υπ', τῆς δὲ Σελήνης ,αρνβ', τοῦ δὲ Κρόνου σνς', τοῦ δὲ Διὸς υκζ', τοῦ δὲ Ἄρεως σπδ'. τὰ δὲ μέγιστα ἔτη τοῦ Ἡλίου εἰσὶν ρκ', τῆς δὲ Ἀφροδίτης πβ', τοῦ δὲ Ἑρμοῦ ος', τῆς δὲ Σελήνης. . . , τοῦ δὲ Κρόνου, τοῦ δὲ Διὸς . . . , τοῦ δὲ Ἄρεως. . . τὰ δὲ μέσα αὐτῶν ἔτη· τοῦ Ἡλίου ἔτη λθ' ς'', τῆς δὲ Ἀφροδίτης με', τοῦ Ἑρμοῦ μη', τῆς δὲ Σελήνης λθ' ς'', τοῦ δὲ Κρόνου μγ', τοῦ δὲ Διὸς με', τοῦ δὲ Ἄρεως μ'. τὰ δὲ ἐλάχιστα αὐτῶν ἔτη· τοῦ Ἡλίου ιθ', τῆς Ἀφροδίτης η', τοῦ Ἑρμοῦ κ', τῆς δὲ Σελήνης κε', τοῦ Κρόνου λ', τοῦ Διός ιβ', τοῦ δὲ Ἄρεως ιε'.

ν'. Περὶ τῶν ἰδιοτήτων τῶν ἀστέρων

Τοῦ Κρόνου ἡ κρᾶσίς ἐστιν καὶ ἡ ἰδιότης ψυχρὰ καὶ ξηρὰ καὶ μελαγχολώδης καὶ σκοτεινὴ καὶ τραχεινὴ καὶ βαρεῖα καὶ δυσώδης. ποιεῖ δὲ καὶ πολυφάγους καὶ φυλάττοντας φιλίας ἀνθρώπους. σημαίνει δὲ καὶ τὰ γεωργικὰ καὶ τὴν ἐπιμέλειαν τῶν ἀκινήτων ὑποστάσεων καὶ τὴν ἐπιμέλειαν τῶν γεωπονικῶν καὶ τῶν οἰκοδομημάτων καὶ τῶν ὑδάτων, τῶν τε πηγῶν καὶ τῶν ποταμῶν, καὶ τοῦ μερισμοῦ τῶν ἐγγαίων καὶ τοῦ πλούτου καὶ τῆς ἐπικτήσεως καὶ τῶν προαστείων. κεκακωμένος δὲ ὢν ὁ Κρόνος σημαίνει κνι-

---

2 *ἐγράφομεν* corr. : *γράφομεν* codd. 3 *τὸ δὲ φαρτάριον* codd. 4 *Ἑρμοῦ ἔτη* aS, *Ἑρμοῦ* A 5 *δὲ Ἄρεως* Aa, *Ἄρεως* S 11 *σνς'* Aa, *σνγ'*] S 13 *τῆς δὲ — Ἄρεως* omm. AS ; desunt in A numeri 16 *δὲ* quater om. a *μγ*] aS, *μγς'* A *με'* AS, *μή* A 19 *δὲ* om. a

20 S. t. 305^{v} A f. 83^{v}, a f. 84 22 *τραχεινὴ* S, *τρανὴ* (*νή* supra lin. script.) A, *τραχεῖα* a *δὲ καὶ* Sa, *δὲ* A 23 *ἀνθρώπους* a, *ἀνθρώπων* AS 24 *δὲ καὶ* a, *καὶ* AS 25 *γεωπονικῶν* S, *γηπονικῶν* Aa

πείαν καὶ πενιτείας δεινὰς καὶ πένητας καὶ ἀποδημίας διὰ θαλάσσης καὶ ἀποδημίας μακρὰς καὶ ἀνωφελεῖς. σημαίνει δὲ καὶ φυγάδας καὶ πονηροὺς καὶ μνησικάκους καὶ δολίους καὶ ἀπατεῶνας καὶ βλάπτας καὶ τὸ φιλέρημον καὶ τὸ μισεῖν τὴν τῶν ἀνθρώπων ὁμιλίαν. ἔτι δὲ ποιεῖ κενοδοξίας καὶ ἐπάρσεις. σημαίνει δὲ ἀνθρώπους, οἵτινες εἰσὶ κακὰ ὄργανα πρός τε βασιλεῖς καὶ τοὺς ἄρχοντας, καὶ τοὺς συκοφάντας. σημαίνει δὲ καὶ δεσμοὺς καὶ φυλακὰς καὶ βίας. σημαίνει δέ ποτε καὶ ἀλήθειαν ἐν τῷ λόγῳ καὶ ἐμπειρίας καὶ πολυνοίας καὶ πείσματα καὶ βάθος καὶ ἐνδομυχίαν. ποιεῖ δὲ τοὺς ἀνθρώπους ἐν τῇ αὐτῶν βιοτῇ ἐμμένοντας καὶ μὴ ταχέως θυμουμένους· ὅτε δὲ θυμωθῶσιν, οὐ δύνανται κυριεῦσαι ἑαυτῶν, οἵτινες οὐδὲ θέλουσιν ἀγαθὸν εἴς τινα. σημαίνει δὲ καὶ γέροντας καὶ βαρυψύχους καὶ φόβους καὶ ἀνάγκας καὶ φροντίδας καὶ λύπας καὶ στυγνασίας καὶ ἀπορίας περὶ τοῦ τί ὀφείλει ποιῆσαι, καὶ στενοχωρίας. σημαίνει δὲ καὶ τοὺς νεκροὺς καὶ τὰς κληρονομίας καὶ τοὺς θρήνους καὶ τὰς ὀρφανίας καὶ τὰ παλαιὰ τῶν πραγμάτων καὶ τοὺς προπάππους καὶ γονεῖς καὶ τοὺς μείζοντας ἀδελφούς, ἔτι δὲ καὶ τοὺς δούλους καὶ ἀνθρώπους παρὰ πάντων λοιδορουμένους καί τινας πομπευομένους καὶ λῃστὰς καὶ ὀρυκτὰς τάφων, ἔτι δὲ καὶ ἀνασκάπτας. σημαίνει δὲ καὶ τὰ δένδρα καὶ τοὺς δημογέροντας καὶ τὸν χυδαῖον λαὸν καὶ τοὺς εὐνούχους καὶ τοὺς ὀλιγοσυντύχους καὶ τοὺς ἐρευνῶντας τὰ κρύφια καὶ τὰ μυστηριώδη τῶν μαθημάτων. σημαίνει δὲ καὶ ἀσκητὰς καὶ μοναχοὺς καὶ ἐρημίτας.

να'. Περὶ τοῦ Διός. Ἡ τοῦ Διὸς κρᾶσίς ἐστι θερμὴ καὶ ὑγρὰ καὶ ἀερώδης καὶ σύμμετρος. σημαίνει δὲ καὶ τὰς θρεπτικὰς δυνάμεις, ἔτι δὲ καὶ τὰς ζωτικὰς καὶ αὐτὰ τὰ σώματα καὶ τὰ τέκνα, καὶ τοὺς ἐκγόνους καὶ τὰ ἐπέκεινα τούτων ἔκγονα, ἔτι δὲ καὶ τοὺς λογίους ἄνδρας καὶ τοὺς ῥήτορας καὶ τοὺς νομικοὺς καὶ τοὺς κριτὰς καὶ πάντας τοὺς ἀντεχομένους τῆς δικαιοσύνης, ἔτι δὲ καὶ ἐχέφρονας καὶ τοὺς νοητικοὺς καὶ τοὺς σοφοὺς καὶ τοὺς ὀνειροκρίτας καὶ τοὺς ἀληθινοὺς ἀνθρώπους καὶ τοὺς ἀντεχομένους τῆς οἰκείας

---

1 *κνιπείαν* a, *κνιπίαν* A, *κνίπην* S 2 *δὲ καὶ* Aa, *καὶ* S 5-6 *σημαίνει - ἄρχοντας* om. a 8 *καὶ ἀλήθειαν - πείσματα καὶ* om. a 9 *ἐνδομυχίαν* a, *ἐνδομυ* et *χ* supra *υ* script. A, *ἐνδόμυχον* S *τοὺς* om. Aa 17 *τοὺς* Aa, om. S 19 *λῃστὰς* Aa, *λῃστὴν* S *ὀρυκτὰς* Aa, *ὀρυκτὴν* S 20 *δημογέροντας* a, *δημιεργείας* S, *δημιεργέτας* A 27 *ἐγγόνους* et *ἔγγονα* AS 29 *τῆς* a, om. AS 31 *ἀληθινοὺς* S, *ἀλη* et *θ* supra *η* script. A, *ἀληθεῖς* S

θρησκείας καὶ τοὺς ἐπιεικεῖς καὶ τοὺς ὁσίους καὶ τοὺς περὶ πίστεως διαλεγομένους καὶ τοὺς δογματικούς, ἔτι δὲ καὶ τοὺς παρὰ πάντων ἐπαοινυμένους καὶ μὴ παρά τινος ψεγομένους. σημαίνει δὲ καὶ τοὺς ὑπονοητικοὺς ἄνδρας καὶ τοὺς ζηλωτὰς τοῦ δικαίου. πολλάκις δὲ σημαίνει καὶ ἀνθρώπους σπουδαστικοὺς καὶ ῥιψοκινδύνους· σημαίνει δὲ καὶ προκοπὰς καὶ νίκας καὶ τρόπαια κατὰ πάντων τῶν ἀντικειμένων. σημαίνει δὲ καὶ τιμὰς καὶ ἀρχὴν ἐξουσιαστικὴν καὶ βασιλεῖς καὶ εὐγενεῖς καὶ μεγιστάνους καὶ λαμπρὰς τύχας καὶ εὐφυΐας καὶ κέρδη καὶ πλούτου συναγωγὴν καὶ καλὰ ἤθη καὶ καυχήματα καὶ πρὸς τοὺς φίλους φιλίαν εἰλικρινῆ καὶ ἐπικράτειαν κατὰ τὴν . . . . ἐν ἰδίῳ οἴκῳ καὶ φιλίαν πρὸς ὑπερέχοντα πρόσωπα καὶ συμμαχίας καὶ συνεργείας πολλῶν. σημαίνει δὲ καὶ ὄρεξιν οἰκούντων καὶ οἰκημάτων λαμπρῶν καὶ στερεῶν καὶ κατανόησιν ἀληθῆ τῶν πραγμάτων καὶ τὸ ἀνταμείβεσθαι τοῖς φίλοις,ὑπὲρ ὧν προευηργέτησαν, ἔτι δὲ καὶ συγγνώμας καὶ συμπαθείας καὶ λαμπρότητας καὶ καλλωπισμοὺς καὶ εὐφροσύνας καὶ γέλωτας καὶ τὰς μικρὰς ὁμιλίας καὶ φιλαγάθους γνώμας καὶ μῖσος πρὸς τὰς κακίας. ἔτι δὲ σημαίνει καὶ γλώσσας εὐτρανεῖς καὶ εὐτυχίας τῶν ὁμιλούντων πρὸς αὐτόν. σημαίνει δὲ καὶ πολυγάμους καὶ ἀκρατεῖς πρὸς ταῦτα γνώμας καὶ χαρὰς καὶ εὐφροσύνας καὶ μεσιτείας μεταξὺ τῶν ἐριζόντων πρὸς ἀλλήλους ὥστε εἰρηνεύειν αὐτούς. σημαίνει καὶ ἀνθρώπους προστρέχοντας ἐπὶ τὸ ἀγαθόν, ἀποτρέποντας δὲ ἐπὶ τὸ χεῖρον.

νβ'. Περὶ τοῦ Ἄρεως. Ὁ δὲ Ἄρης ἐστὶ τῇ κράσει θερμὸς καὶ ξηρὸς καὶ πυρώδης. ἄρχει δὲ τῆς ξανθῆς χολῆς καὶ τῶν πικρῶν ἐδεσμάτων, σημαίνει δὲ τὴν νέαν ἡλικίαν καὶ τὴν δύναμιν καὶ τὴν εὐφυΐαν καὶ τὰς θερμὰς δυσκρασίας καὶ τὸ πῦρ καὶ τοὺς ἐμπρησμοὺς καὶ πάντα τὰ ἄφνω γινόμενα, ἔτι δὲ καὶ τοὺς τυραννικοὺς βασιλεῖς καὶ τοὺς στρατηγοὺς καὶ τοὺς στρατιώτας καὶ τὰς βιαίας πράξεις καὶ τοὺς πολέμους καὶ τοὺς φόνους καὶ τὰς ἀνδρείας καὶ τὰς ὑπομονὰς καὶ τὰς φιλοδοξίας καὶ τὰς ἐπιθυμίας

---

9 καλὰ ἤθη S, καλοήθη a, καλοή (et θ supra η script.) A 11 τὴν codd. ; hiat. textus 14 ἀνταμείβεσθαι A, ἀπαμείβεσθαι aS προευεργέτησαν aS 15 λαμπρότητας, S λαμπρότητα a, λαμπρο et ττ supra ο script. A 19 ἀκρατεῖς A, εὐκρατεῖς aS 20 χαρὰς καὶ εὐφροσύνας a, χαρὰν καὶ εὐφρ. A, εὐφροσύνας tantum S 22 ἐπὶ om. A 25 Ὁ δὲ — θερμὸς S, Ὁ δὲ τοῦ Ἄρεως τῇ φύσει θερμὸς Aa

τοῦ καταδυναστεύειν καὶ τὰς μνησικακίας καὶ τὰς ὑποστάσεις καὶ τὰς καταρχὰς καὶ τὰς συναγωγὰς καὶ τοὺς χωρισμοὺς καὶ τὰς λῃστείας καὶ τὰς διωρυχίας καὶ τὰς κλεψίας καὶ τὰς στρατοκοπίας καὶ τοὺς ῥιψοκινδύνους καὶ τὰς ἀναιδείας καὶ τοὺς θυμοὺς καὶ τὰ ἀθέμιστα τῶν πράξεων καὶ τοὺς βασανισμοὺς καὶ τὰ δεσμὰ καὶ τοὺς ἐτασμοὺς καὶ τὰς φυλακὰς καὶ τὰς στενοχωρίας καὶ τὰς αἰχμαλωσίας καὶ τοὺς φόρους καὶ τὰς φιλονεικίας καὶ τὰς ἀδικίας καὶ ὀξυθυμίας καὶ τὰς σκληροκαρδίας καὶ τὰς ὕβρεις καὶ τὰ πείσματα καὶ τὰς ἀφιλίας καὶ τὰ αἰσχρὰ τῶν ὕβρεων καὶ τὰς ἀκολάστους γλώσσας καὶ τὰς ὑποκρίσεις καὶ τὰς περὶ τοὺς λόγους ἐπιτηδεύσεις καὶ τὰς προχείρους ἀπολογίας καὶ τὰς δυσπιστίας καὶ τὰ ψεύδη καὶ τὰς συκοφαντίας καὶ τὰς ἀσωτίας καὶ τὰς πορνείας καὶ τὰς ψευδομοσίας καὶ τὰς ἀπάτας καὶ τοὺς δόλους καὶ τὰ κακὰ ἔργα καὶ τὴν ἐρήμωσιν τῶν ἀγαθῶν ἔργων καὶ τὰς ἔχθρας καὶ τὸ μεταπίπτειν ἀπὸ λογισμοῦ εἰς λογισμὸν συντόμως καὶ τὰς ἀναισχυντίας καὶ τοὺς πολλοὺς κόπους καὶ τὰς ἀποδημίας καὶ τὰς ξενιτείας καὶ τὰς κακὰς γυμνάσεις καὶ τὰς μοιχείας καὶ τὰς ταχυκινησίας καὶ τοὺς ἐκτρωσμούς. σημαίνει δὲ καὶ τοὺς μέσους ἀδελφοὺς καὶ τοὺς στράτορας καὶ τοὺς βοσκοὺς καὶ τραυματισμοὺς καὶ τοὺς κωμοδρομικούς, ἔτι δὲ καὶ τοὺς ἀνεσκαμμένους.

νγ'. Περὶ τοῦ Ἡλίου. Ἡ τοῦ Ἡλίου κρᾶσίς ἐστι θερμὴ καὶ ξηρά, ἄρχει δὲ τῆς ζωτικῆς δυνάμεως καὶ τοῦ φωτὸς καὶ τῶν λύχνων καὶ τῆς φρονήσεως καὶ τῆς γνώσεως καὶ τῆς διανοήσεως καὶ τῶν μέσων τῆς ζωῆς ἐτῶν. σημαίνει δὲ καὶ τοὺς βασιλεῖς καὶ τὰς ἀρχὰς καὶ τοὺς ἄρχοντας καὶ τοὺς στρατηγοὺς καὶ τοὺς συνετοὺς καὶ τοὺς εὐγενεῖς καὶ τὰς δυνάμεις καὶ τὰς ἐπιθυμίας καὶ τὰς λαμπρότητας καὶ τὴν δόξαν καὶ τὸ φιλόδοξον καὶ τὸ ὑπερήφανον καὶ τὸ ἀκατάδεκτον καὶ τὸ παρὰ πολλῶν ἐπαινούμενον καὶ τὸ τῆς δόξης ἐπιθυμεῖν καὶ τὸ τοῦ πλούτου καὶ τὸ φιλόχρυσον καὶ τὸ πολυσύντυχον καὶ τὸ σπαστικὸν καὶ τὸ ἀποδοῦναι κακὸν ἀντὶ κακοῦ καὶ τὸ μισεῖν μὲν τὸ ἔγγιον, τῶν δὲ πόρρωθεν ἀντέχεσθαι. καὶ ποτὲ μὲν ὠφελεῖ ὁ Ἥλιος, ποτὲ δὲ βλάπτει, καὶ ποτὲ μὲν ἀνα-

---

3 τὰς λῃστείας a, τοὺς λῃστὰς AS
ἐπιτηδεύσεις Aa, καὶ τὰς λοιπὰς ἐπιτ. καμμένους AS
10 καὶ περὶ τοὺς λόγους
20 ἀνεσκαμμένους a, ἀνασ-
τοὺς A, om. S
25 ἐτῶν Aa, αὐτῶν S
26 τὰς - ἄρχοντας om. a

βιβάζει, ποτὲ δὲ καταβιβάζει. σημαίνει δὲ καὶ τὰ τῆς πίστεως καὶ τὰ περὶ κρίσεων καὶ τὰ περὶ γονέων καὶ ἀδελφῶν καὶ μέσων. σημαίνει δὲ καὶ τὰς ξηρότητας καὶ τὰς ὠχρότητας καὶ τὰς πολυκοινίας τε, ἔχων δύναμιν κατὰ τῶν ἐχθρῶν καὶ κατὰ τῶν ἀδικητῶν.

νδ'. Περὶ τῆς Ἀφροδίτης. Ἡ τῆς Ἀφροδίτης κρᾶσίς ἐστι ὑγρὰ καὶ φλεγματική, πλὴν σύμμετρος κατὰ τὴν ὑγρότητα· ἔστι δὲ καὶ ἀγαθοποιός. σημαίνει δὲ καὶ τὰς γυναῖκας καὶ τὰς μητέρας καὶ τὰς μικρὰς ἀδελφὰς καὶ τὴν σπάστραν καὶ τὸν καλλωπισμὸν καὶ τὰ κόσμια τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ καὶ τὴν ὀρθὴν πρὸς τοὺς φίλους διάθεσιν, ἔτι δὲ καὶ τὰς ὑπεροφίας καὶ τὰς ὑπερηφανίας καὶ τὰς τροφὰς καὶ τὰς ἡδονὰς καὶ τὴν τῶν μουσικῶν ὀργάνων ἐκφώνησιν καὶ τὰς παιδιὰς καὶ τοὺς γέλωτας καὶ τὰς χαρὰς καὶ τὰς εὐφροσύνας καὶ τὰς ὀρχήσεις καὶ τὰς ζαμάρας καὶ τὰς τῶν μουσικῶν ὀργάνων κινήσεις καὶ τοὺς γάμους καὶ τὰς μελῳδίας καὶ τὰς ἐμμελεῖς φωνὰς τὰς θελγούσας τοὺς ἀκροατὰς καὶ τὰ διὰ τῶν ταυλίων παίγνια, ἔτι δὲ τὸ ζατρίκιον[1] καὶ τὰς ἀργίας καὶ τὰς νωχελίας καὶ τοὺς πολιτικοὺς λόγους, ἔτι δὲ καὶ τὰς πόρνας καὶ τοὺς μοιχοὺς καὶ τοὺς πόρνους καὶ τοὺς πολλοὺς ὅρκους καὶ τὸν οἶνον καὶ τὸ μέλι καὶ τὰ σίκερα καὶ τὰς πολυγαμίας καὶ τὰς παιδεραστίας καὶ τὰς τριβάδας γυναῖκας καὶ τὸ φιλόφιλον καὶ τὸ καταπιστεύεσθαι παντὶ ἀνθρώπῳ καὶ τὸ εὐμετάδοτον καὶ τὸ εὐεργετικὸν καὶ τὸ καλόηθες καὶ τὴν ὡραιότητα καὶ τὰς ἡδείας διαλέξεις καὶ τοὺς ἔρωτας καὶ τὴν τοῦ σώματος δύναμιν, ἀδυναμίαν δὲ ψυχῆς, καὶ τὸ πρὸς πάντας ὀρεκτικὸν καὶ ἐπιθυμητικόν. σημαίνει δὲ καὶ τὰς τέχνας τὰς καθαράς, οἷον τὴν χρυσοχοικὴν καὶ τὴν ζωγραφικὴν καὶ ῥαπτικήν, ἔτι δὲ καὶ τὴν δικαιοσύνην καὶ τὴν ἐμπορευτικὴν καὶ τὴν μυρεψικήν.

---

2 καὶ μέσων aS μέσων A 14 καὶ τὰς τῶν AS, καὶ τῶν a ὀργάνων S, νεύρων Aa 16 τὸ ζατρίκιον S, τῶν ζατρικίων Aa 18 πόρνας S, πορνείας Aa τ. πόρνους S, τὰς πόρνας Aa 19 σίκερα Sa, σίκυρα A 20 φιλόφιλον Aa, φιλόπολιν S 23 ἡδείας a, ἰδίας S 25 τέχνας Aa, τύχας S

---

(1) Cf. Cat. IV, p. 127, Apomasaris *Περὶ παιγνίου οἷον ζατρικίου ἢ ταβλίου*

νε'. Περὶ τοῦ Ἑρμοῦ. Ἡ κρᾶσις τοῦ Ἑρμοῦ τοιαύτη γίνεται, οἱά ἐστιν ἡ τοῦ ἀστέρος τοῦ συνάπτοντος αὐτῷ. σημαίνει δὲ τὴν νέαν ἡλικίαν καὶ τοὺς μικροὺς ἀδελφούς. σημαίνει δὲ καὶ τὴν ἔφεσιν μαθημάτων καὶ τῆς προγνώσεως τῶν μελλόντων καὶ τὰς λογικὰς ἐπιστήμας καὶ τὴν γνῶσιν καὶ τὴν εὐφυΐαν καὶ τὴν κατάληψιν τῶν ὄντων καὶ τὴν παίδευσιν καὶ τὴν φιλοσοφίαν καὶ τὴν γεωμετρίαν καὶ τὴν ἀστρονομίαν καὶ τὴν ἱερατικὴν τέχνην, ἔτι δὲ καὶ τὴν οἰωνοσκοπικὴν καὶ τὰς κρυφίους τέχνας, τὸ ἡδὺ ἐν τοῖς λόγοις καὶ ταχέως ἀποδεικνύειν τὰ προκείμενα καὶ τὴν τῆς γυμνασίας ὄρεξιν, ἔτι δὲ καὶ τὰς στιχοπλοκίας καὶ τὰ ψεύδη καὶ τὰς πλαστογραφίας καὶ τὸ γινώσκειν τὰ μυστήρια. σημαίνει δὲ ὀλίγας τὰς εὐφροσύνας καὶ πολλὰς τὰς ἐξόδους. σημαίνει δὲ καὶ τὰ τῆς ἐμπορίας καὶ τὰ τῆς πράξεως καὶ ἀγορασίας καὶ τὰς δόσεις καὶ τὰς λήψεις καὶ τοὺς δόλους καὶ τὰς πλοκὰς καὶ τὰς πονηρίας καὶ τὰς ὑποκρίσεις. σημαίνει δὲ καὶ παλαιστὰς καὶ φόβους παρὰ ἐχθρῶν καὶ δούλων καὶ ὑπηρετῶν καὶ τὸ σπεύδειν περὶ τὰ πρακτέα καὶ τὰ ἤθη τὰ ποικίλα καὶ τὴν σπάστραν καὶ τὸ ἐν τοῖς λόγοις ἱλαρὸν καὶ ἐφελκτικὸν τῶν ἀκουόντων καὶ τὸ συνεργὸν καὶ τὸ ὑπομνηστικὸν καὶ τὸ ἐλεῆμον καὶ τὸ συγκαταβατικὸν καὶ τὸ λατρευτικόν, καὶ τὸ ὑπακούειν τῷ Θεῷ καὶ τὸ τῶν φίλων ὑπερμαχικὸν καὶ τῆς φιλίας ἀντιποιητικόν ἔτι δὲ καὶ τὴν καλλιφωνίαν καὶ τὴν ἐπιτηδειότητα καὶ τὰ μουσικὰ μέλη καὶ τὸ ἐπιτήδειον πρὸς πάσας τὰς τ΄χνας καὶ τὸ θαυμαστικὸν πασῶν τῶν ἀρίστων τεχνῶν. σημαίνει δὲ καὶ συκιαστὰς (?) καὶ τὰς κτενάδας (?) καὶ παιδοτρίβας καὶ λύπας διὰ τὰ ζῷα.

νς'. Περὶ τῆς Σελήνης. Ἡ δὲ Σελήνη ἐστὶ φωστὴρ τῆς νυκτός, ἔστι δὲ ἡ κρᾶσις αὐτῆς ψυχρὰ καὶ ὑγρὰ καὶ φλεγματώδης. σημαίνει δὲ ἐπικτήτους θερμασίας διὰ τὸ φῶς, ὃ δέχεται παρὰ τοῦ Ἡλίου. ἔστι δὲ κούφη καὶ εὐκίνητος. σημαίνει δὲ ἀνθρώπους φιληδόνους καὶ εὐειδεῖς καὶ φιλεπαίνους, σημαίνει δὲ καὶ τὰς καταρχὰς τῶν πραγμάτων καὶ τοὺς βαοιλεῖς καὶ τοὺς εὐγενεῖς καὶ τὰς περὶ τὸν βίον τύχας καὶ εὐτυχίας καὶ τὴν ἐπιτυχίαν τῶν ἐλπιζομένων καὶ τὰς δογματικὰς διαλέξεις καὶ τὴν τῶν μετεώρων γνῶσιν καὶ τὰς θαυματοποιοὺς τέχνας καὶ τὰς μαγείας καὶ τὰς

---

1 *τοῦ Ἑ.* aS, *δὲ τοῦ Ἑ.* A 8 *τὸ ἡδὺ ἐν λόγοις* S, *ἡδύ ἐν τοῖς λ.* A, *ἡδύτητα ἐν τῷ λόγῳ* a 20 *τῷ Θεῷ* Aa, *Θεῷ* A S 23 *πάσας τὰς τέχνας* Aa, *τὰς τύχας* S 24 *συκιαστὰς* As, *σικιατὰς* a *κτενάδας* Sa, *τεκτονάδας* A 30 *εὐειδεῖς καὶ* Aa, om. S

πολυφροντισίας καὶ τὰς γεωμετρίας καὶ τὴν ἐπιστήμην τῶν ἐγγαίων καὶ τῶν ὑδάτων, ἔτι δὲ καὶ τὰς ψηφοφορίας. σημαίνει δὲ καὶ εὐγενεῖς γυναῖκας καὶ τὰ γαμήλια καὶ τὰς ἐγκύους γυναῖκας καὶ τὰς ἀνατροφὰς καὶ τὰς μητέρας καὶ θείας καὶ τοὺς μείζονας ἀδελφοὺς καὶ τοὺς πρέσβεις καὶ τὰ κοῦντρα καὶ τὰς φήμας καὶ τοὺς φυγάδας καὶ τὰ ψεύδη καὶ τὰς συκοφαντίας. ποιεῖ δὲ ἀνθρώπους μετὰ μὲν βασιλέων βασιλεογνώμονας, μετὰ δὲ δούλων δουλογνώμονας, καὶ μετὰ παντὸς ἀνθρώπου συμφερομένους κατὰ τὴν γνώμην ἑκάστου. σημαίνει δὲ καὶ ἐπιλήσμονα καὶ δειλὸν καὶ καρδίαν ἔχοντα καθαρὰν καὶ ἁπλοικῶς πρὸς πάντα φερομένους καὶ παρὰ πάντων τιμωμένους καὶ μὴ κρύπτοντας τὸ ἴδιον μυστήριον. σημαίνει δὲ καὶ πλῆθος νόσων καὶ τὴν περὶ τὰς τροφὰς ἡδυπάθειαν. ποιεῖ δὲ καὶ ὀλιγοκινήτους περὶ τὰ ἀφροδίσια.

ξε'. Τοῦ Ἀπομάσαρ περὶ τῶν κλήρων τῶν ιβ' τόπων.

Πρῶτος τόπος. — Κλῆρος ζωῆς. Ὁ ὡροσκόπος ἔχει κλήρους τρεῖς, ὧν ὁ πρῶτός ἐστιν ὁ περὶ ζωῆς. λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ Διὸς μέχρι τοῦ Κρόνου καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, νυκτὸς δὲ τὸ ἀνάπαλιν. καλῶς οὖν κείμενος ὁ τοιοῦτος κλῆρος σημαίνει πολυζωίαν καὶ σώματος εὐεξίαν καὶ ψυχῆς εὐφροσύνην· εἰ δὲ κακύνεται, σημαίνει ὀλιγοζωίαν καὶ πολλὴν ἀρρωστίαν καὶ λύπην καὶ ἀκηδίαν.

Κλῆρος διαμονῆς. Ὁ δὲ δεύτερος κλῆρός ἐστιν ὁ τῆς διαμονῆς. λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ κλήρου τῆς Τύχης ἐπὶ τὸν κλῆρον τοῦ δαίμονος, νυκτὸς δὲ τὸ ἀνάπαλιν,καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. ὅταν οὖν εὑρεθῇ ὁ τοιοῦτος κλῆρος καλῶς κείμενος, σημαίνει ὑγείαν καὶ εὐεξίαν καὶ εὐειδίαν καὶ ἐπίμονον τὴν εὐτυχίαν, καὶ ὠφεληθήσεται διὰ τῶν ἀποδημιῶν. εἰ δὲ κακύνεται, σημαίνει δυσειδίαν καὶ νόσους. εἰ δὲ βούλει γνῶναι ἆρά γε

---

7 *βασιλεογνώμονας* a, *βασιλεογνώμους* S, *βασιλειογνω* et *μ* supra *ω* script. A 8 *καὶ* a, om. AS 13 *ὀλιγοκινήτους* a, *ὀλιγοκίνητον* S, *ὀλιγοκινη* et *τ* supra *η* script. A 14 S, f. 309ᵛ A f. 6ᵛ ; a f.92 *τῶν* S, om. Aa 16 *Πρῶτος τόπος* est *τοῦ ὡροσκόπου* 17 *ὧν ὁ* S, *ὧν* Aa 18 *μὲν* om. AS 24 *δὲ* om. a, qui et numeros sortibus praemittit 26 *ὅταν* a, *ὅτε* AS ; et saepius 27 *εὐει* et *δι* supra *ι* script. Aa, *εὐδίαν* S 29 *δυσει* et *δ* supra *ι* scrip. Aa, *δυσηδίαν* S *νόσους* A, *νόσον* aS

ἐπίμονόν ἐστι τὸ πρᾶγμα ἢ μή, ἴδε τὸ γενέθλιον τοῦ ἀνθρώπου ἢ τὴν ἐναλλαγὴν τοῦ χρόνου αὐτοῦ ἢ τὴν ἐρώτησιν αὐτοῦ, καὶ ἴδε τὸν τοιοῦτον κλῆρον. καὶ εἰ μέν ἐστιν ἐπίκεντρος ἢ συνοδεύων τῷ κυρίῳ τοῦ ὡροσκόπου, σημαίνει ἐπίμονον εἶναι καὶ ἀμετάθετον ἐκεῖνο τὸ πρᾶγμα, εἰ δὲ ἀποκλίνει ἢ κακύνεται, σημαίνει ταχυκατάλυτον.

Τρίτος κλῆρος φρονήσεως. Ὁ δὲ τρίτος κλῆρός ἐστι τῆς φρονήσεως. λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ Ἑρμοῦ μέχρι τοῦ Ἄρεως, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. καὶ οὗτος ὁ κλῆρος σημαίνει τὰ περὶ τῆς φρονήσεως καὶ τῆς συνέσεως. καλῶς οὖν κείμενος σημαίνει ἄνδρα συνετὸν καὶ ἐχέφρονα, κακυνόμενος δὲ σημαίνει παράβουλον καὶ ἄλλοτε ἄλλως μετατρεπόμενον.

Δεύτερος τόπος. — Πρῶτος κλῆρος· πλούτου. Ὁ δὲ δεύτερος τόπος ἔχει κλήρους τρεῖς, ὧν ὁ πρῶτος ὁ περὶ πλούτου. λαμβάνεται δὲ [τῆς] ἡμέρας καὶ νυκτὸς ἀπὸ τοῦ κυρίου τοῦ δευτέρου τόπου, μέχρι τῆς μοίρας τοῦ δευτέρου τόπου, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. σημαίνει οὖν ὁ τοιοῦτος κλῆρος τὰ κέρδη καὶ τὰς ὠφελείας. καλῶς οὖν κείμενος σημαίνει πλοῦτον καὶ περιουσίαν πολλήν, κακυνόμενος δὲ σημαίνει πενίαν καὶ ἐξόδους ἀνωφελεῖς.

Δεύτερος κλῆρος· δανείου. Ὁ δὲ δεύτερος κλῆρός ἐστιν ὁ τοῦ δανείου. λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ τοῦ Κρόνου ἐπὶ τὸν Ἑρμῆν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου (1). *ὁ γοῦν τοιοῦτος κλῆρος ἀγαθυνόμενος σημαίνει κέρδη ἀπὸ τῶν δανείων, κακυνόμενος δὲ σημαίνει ζημίαν διὰ τοῦ δανείου.*

---

9 *τοῦ Ἄ.* Aa, *Ἄρεως* S *ἀπὸ τοῦ* Aa, *ἀπὸ* S 15 *ὧν ὁ* S, *ὧν* Aa
16 *τῆς ἡμέρας - μοίρας τοῦ δ. τ.* pro his in a ; *ἀπὸ τοῦ Ἑρμοῦ μέχρι τοῦ Ἄρεως· νυκτὸς δὲ τὸ ἀνάπαλιν* 17 *μέχρι τόπου* A, om. S
18 *σημαίνει - ὠφελείας* pro his in a : *καὶ οὗτος ὁ κλῆρος σημαίνει τὰ περὶ τῆς φρονήσεως καὶ τῆς συνέσεως* 19 *πλοῦτον κτλ.* pro his in a : *ἄνδρα συνετὸν καὶ ἐχέφρονα. κακυνόμενος δὲ σημαίνει παράβουλον καὶ ἄλλοτε ἄλλως μετατρεπόμενον. ἡμέρας καὶ νυκτὸς ἀπὸ τοῦ κυρίου τοῦ δευτέρου τόπου μέχρι τῆς μοίρας τοῦ δευτέρου τόπου· καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. σημαίνει οὖν ὁ τοσοῦτος κλῆρος τὰ κέρδη καὶ τὰς κτλ.* Haec e praeced. capite manant
23 *ἀπὸ τοῦ* Aa, *ἀπὸ* S *ἀπὸ* S, *διὰ* Aa

---

(1) Cf. Vettium Valentem, II, 23 (p. 90, 30 ed. Kroll).

Τρίτος κλῆρος· εὑρέσεως. Ὁ δὲ τρίτος κλῆρός ἐστιν ὁ τῆς εὑρέσεως. λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ Ἑρμοῦ ἐπὶ τὴν Ἀφροδίτην, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. καλῶς οὖν κείμενος οὗτος ὁ κλῆρος σημαίνει εὕρεσιν ἀπολομένων πραγμάτων, κακῶς δὲ κείμενος σημαίνει δυσεύρετον τὸ ἀπολεσθέν.

Τρίτος τόπος.—<Πρῶτος> κλῆρος· ἀδελφῶν. Ὁ δὲ τρίτος τόπος ἔχει κλήρους τρεῖς, ὧν πρῶτος ὁ περὶ ἀδελφῶν. λαμβάνεται δὲ κατὰ Ἑρμῆν καὶ κατὰ πάντας τοὺς ἀρχαίους ἡμέρας μὲν καὶ νυκτὸς ἀπὸ τοῦ Κρόνου ἐπὶ τὸν Δία, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου, κατὰ δὲ Οὐάλεντα μόνον ἡμέρας καὶ νυκτὸς ἀπὸ τοῦ Ἑρμοῦ ἐπὶ τὸν Δία, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. ἡ δὲ τῶν ἀρχαίων δόξα ἀληθεστέρα ἐστί. σημαίνει οὖν καλῶς κείμενος ὁ τοιοῦτος κλῆρος σχέσιν ἔχειν πρὸς ἀλλήλους τοὺς ἀδελφοὺς καὶ φιλίαν. καὶ ἐὰν τύχῃ ὁ τοιοῦτος κλῆρος ἐν πολυσπέρμῳ ζῳδίῳ, πολλοὶ ἔσονται οἱ ἀδελφοί, εἰ δὲ ἐν στειρώδει ζῳδίῳ τύχῃ πεσών, ὀλίγοι ἔσονται. εἰ δὲ βούλει ἐκ τοῦ τοιούτου κλήρου γνῶναι τὸν ἀριθμὸν τῶν ἀδελφῶν, λάβε τὰς μεταξὺ μοίρας τοῦ τε κλήρου καὶ τοῦ οἰκοδεσπότου αὐτοῦ, ἢ τὰ ζῴδια τὰ μεταξὺ οἰκοδεσπότου καὶ τοῦ κλήρου, καὶ λόγισον ἕκαστον ζῴδιον ἀδελφὸν ἕνα. εἰ δὲ τύχῃ τὸ ζῴδιον ἐκεῖνο δίσωμον, λάβε δύο· εἰ δὲ εὑρεθῇ τις ἀστὴρ μεταξὺ τοῦ κλήρου καὶ τοῦ οἰκοδεσπότου αὐτοῦ, λάβε ἕνα.

Δεύτερος κλῆρος· ποσότητος ἀδελφῶν. Ὁ δὲ δεύτερος κλῆρος σημαίνει ποσότητα τῶν ἀδελφῶν. λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ τοῦ Ἑρμοῦ ἐπὶ τὸν Κρόνον, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. ὁ οὖν τοιοῦτος κλῆρος τυχὼν ἐν πολυσπέρμῳ ζῳδίῳ, ἔτι δὲ καὶ ὁ κλῆρος ὃν προείπομεν, πολλοὶ ἔσονται οἱ ἀδελφοί, καὶ ἴσως ἔσονται ἰσάριθμοι τοῖς ἐλαχίστοις ἔτεσι τοῦ ἀστέρος τοῦ οἰκοδεσπότου τοῦ κλήρου. εἰ δὲ ἐν στειρώδει πέσῃ ζῳδίῳ, ὀλίγοι ἔσονται οἱ ἀδελφοί.

---

4 *οὖν* Aa, *δὲ* S 5 *ἀπολομένων* S, *ἀπολωμένων* A, *ἀπολλωλοτων* (*των* supra lineam scripta) a 7 *Πρῶτος* om. AS, in marg. *ά* a 9 *κατὰ Ἑρμῆν καὶ* a, om. AS 12 *τοῦ Ἑ.* S, *Ἑρμοῦ* Aa *τοῦ ὡ.* S, *ὡροσκόπου* Aa 16 *οἱ δὲ ἀδ.* Aa, *ἀδελφοὶ* S 18 *τὸν ἀριθμὸν* S, *τὸν ἀδελφὸν* Aa 19 *τὰ ζ. τὰ μεταξὺ* S, *τὰ μεταξὺ ζώδια* Aa *οἰκοδεσπότου τοῦ κλήρου* S, *τοῦ αὐτοῦ τ. κλ.* Aa 20 *λόγισον* S, *λόγισαι* Aa 21 *λάβε* AS, *λε* et *Γ* supra *ε* script. a 25 *τὸν* om. A *ἀπὸ τοῦ* S, *ἀπὸ* Aa 28 *τοῖς ἐλαχίστοις ἔτεσι* vd. p. 178.

Τρίτος κλῆρος· θανάτου ἀδελφῶν. Ὁ δὲ τρίτος κλῆρός ἐστι περὶ θανάτου τῶν ἀδελφῶν. λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ Ἡλίου ἐπὶ τὴν μοῖραν τοῦ μεσουρανήματος, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. ὁ γοῦν τοιοῦτος κλῆρος σημαίνει τὸν θάνατον τῶν ἀδελφῶν. κινοῦσιν δὲ τὸν τοιοῦτον κλῆρον κατὰ περίπατον, καὶ ὅταν κολληθῇ κακοποιῷ κλιμακτῆρα ἐπιφέρει τῶν ἀδελφῶν.

Τέταρτος τόπος. — Πρῶτος κλῆρος· γονέων. Ὁ δὲ τέταρτος τόπος ἔχει κλήρους ὀκτώ, ὧν πρῶτός ἐστιν ὁ περὶ γονέων. λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ Ἡλίου ἐπὶ τὸν Κρόνον, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. εἰ δέ ἐστιν ὁ Κρόνος ὕπαυγος, λαμβάνεται ἡμέρας μὲν ἀπὸ τοῦ Ἡλίου ἐπὶ τὸν Δία, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου τινὲς δὲ εἶπον, ὅτι ὅτε ἐστὶν ὁ Κρόνος ὕπαυγος, λαμβάνεται ὁ κλῆρος ἡμέρας μὲν ἀπὸ Ἄρεως ἐπὶ Κρόνον, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. ἀλλ' ἐμοὶ οὐκ ἀρέσκει ἡ τοιαύτη δόξα, ἀλλ' ἡ πρώτη. μᾶλλον δὲ ὁ Ζεὺς σημαίνει τὰ τῶν γονέων ἢ ὁ Ἄρης. ὁ γοῦν τοιοῦτος κλῆρος σημαίνει τὰ περὶ τοῦ πατρὸς καὶ τὰ τῆς εὐγενείας αὐτοῦ ἢ δυσγενείας. καὶ ὁ κλῆρος αὐτοῦ σημαίνει τὴν εὐτυχίαν αὐτοῦ ἤτοι τὴν δυστυχίαν. καλῶς οὖν κείμενος ὁ τοιοῦτος κλῆρος σημαίνει εὐγενῆ τὸν πατέρα, κακῶς δὲ κείμενος σημαίνει δυσγενῆ. εἰ δὲ ὁ κύριος αὐτοῦ ἀγαθύνεται, εὐτυχὴς ἔσται ὁ πατήρ, εἰ δὲ κακύνεται, δυστυχής. καὶ καλῶς μὲν κείμενος σημαίνει πολυζωίαν τοῦ πατρός, κακῶς δὲ κείμενος ὀλιγοζωίαν.

Δεύτερος κλῆρος· θανάτου γονέων. Ὁ δὲ δεύτερος κλῆρος σημαίνει περὶ θανάτου γονέων. λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ Κρόνου ἐπὶ τὸν Δία, νυκτὸς δὲ τὸ ἀνάπαλιν καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. σημαίνει δὲ ὁ κλῆρος οὗτος τὰς κλιμακτῆρας τῶν γονέων. ὅταν οὖν καταντήσῃ τὸ ἔτος ἐπὶ τὸν τοιοῦτον κλῆρον, κλιμακτῆρα ἐπιφέρει καὶ ὅταν καταντήσῃ ἐπὶ τὸν κύριον τοῦ κλήρου.

Τρίτος κλῆρος· πάππων. Ὁ δὲ τρίτος κλῆρος

---

2 *τῶν* S, om. Aa 6 *κλιμακτῆρα* Aa, *κλιματῆρα* S
14 *Κρόνος* aS, *ἀστὴρ* A *τὸν* om. A 17 *τῶν* om. S
18 *καὶ τὰ* S, *καὶ* Aa 19 *αὐτοῦ* aS, *τοῦ πατρὸς* A 28 *κλιματῆρας* Aa, *κλιμαντῆρας* S 30 *κλιμακτῆρα* Aa, *κλιμαντῆρα* S

σημαίνει τὰ περὶ τῶν πάππων. λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ οἰκοδεσπότου τοῦ Ἡλίου ἐπὶ τὸν Κρόνον, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. εἰ δέ ἐστιν ὁ Ἥλιος ἐν τῷ ἰδίῳ οἴκῳ, λαμβάνεται ἡμέρας μὲν ἀπὸ τῆς ἀρχῆς τοῦ Λέοντος μέχρι τοῦ Κρόνου, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. εἰ δ' ἔστιν ὁ Ἥλιος ἐν τῷ οἴκῳ τοῦ Κρόνου, λαμβάνεται ἡμέρας μὲν ἀπὸ τοῦ Ἡλίου ἐπὶ τὸν Κρόνον, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου, μηδέ σοι μελέτω εἴτε ὁ Κρόνος ἐστὶν ὕπαυγος εἴτε ἔξαυγος. ὁ γοῦν τοιοῦτος κλῆρος καὶ ὁ κύριος αὐτοῦ σημαίνει τὰ περὶ τῶν πάππων, ἀγαθυνόμενοι δὲ ἀγαθύνουσι τὰ κατ' αὐτούς, κακυνόμενοι δὲ κακύνουσιν.

Τέταρτος κλῆρος· εὐγενείας. Ὁ δὲ τέταρτος κλῆρος λαμβάνεται ἡμέρας μὲν ἀπὸ Κρόνου ἐπὶ τὸν Ἄρη, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. ὁ γοῦν τοιοῦτος κλῆρος καλῶς κείμενος καὶ ὑπὸ ἀγαθοποιοῦ ἐφορώμενος σημαίνει εὐγενῆ καὶ ἐλεύθερον τὸν γεννηθέντα· εἰ δὲ κακῶς κεῖται, ἢ ἐφορᾶται ὑπὸ κακοποιοῦ, σημαίνει ἀγενῆ καὶ ἀσυνείδητον καὶ κνιπόν.

Πέμπτος κλῆρος· ἐγγαίων. Ὁ δὲ πέμπτος κλῆρος τοῦ τετάρτου τόπου σημαίνει τὰ τῆς ἀκινήτου ὑποστάσεως καὶ τῶν ἐγγαίων. λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ Κρόνου ἐπὶ Σελήνην, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. καλῶς οὖν κείμενος καὶ ὑπ' ἀγαθοποιοῦ ἐφορώμενος σημαίνει ἐγγαίων ἐπίκτησιν καὶ εἴσοδον γεννημάτων· κακῶς δὲ κείμενος καὶ ὑπὸ κακοποιοῦ ἐφορώμενος σημαίνει λύπας καὶ φροντίδας ἕνεκεν τῆς ἀκινήτου ὑποστάσεως.

Ἕκτος κλῆρος· οἰκοδομημάτων. Ὁ δὲ ἕκτος κλῆρος σημαίνει περὶ οἰκοδομημάτων καὶ οἴκου, λαμβάνεται δὲ <ἡμέρας> κατὰ *Πέρσας* ἀπὸ Ἑρμοῦ ἐπὶ τὸν Δία, νυκτὸς δὲ τὸ

---

1 *περὶ τῶν* Aa, om. S 4-5 *ἀπὸ τῆς ἀρχῆς — Κρόνου* AS, *τοῦ οἰκοδεσπότου τοῦ Ἡλίου ἐπὶ τὸν Κρόνου· νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου* a 5 *ἀπὸ τοῦ* aS, *ἀπὸ* A 7 *ἀπὸ τοῦ* A, *ἀπὸ* aS ; saepius deest, saepius adest articulus ; qua de re lectores iam non monebo 8 *μηδέ σοι* AS, *ἀλλὰ μή σοι* a 9 *εἴτε ἔξ.* AS, *ἤ* a 15 *ἀγαθοποιῶν* aS, *ἀγαθοποιοῦ* A *ἐφορώμενος* aA, *ἐφορμώμενος* S 21 *λαμβάνεται* aA *λάβε δὲ αὐτὸν* S 23 *ἀγαθο* et *π* supra *θ* script. A, *ἀγαθοῦ* aS, *ἐγγαίων ἐπίκτησιν* aS, *ἐπίκτησιν ἐγγαίων* A 24 *κακοποιοῦ* SA, *ἀγαθοποιοῦ* a 29 *ἡμέρας* om. codd.

ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. τὸ αὐτὸ δὲ σκόπει καὶ ἐπὶ τοῦ τοιούτου κλήρου, καθάπερ ἐπὶ τοῦ πρὸ αὐτοῦ.

Ἕβδομος κλῆρος· γεωργίας καὶ φυτείας. Ὁ δὲ ἕβδομος κλῆρος σημαίνει τὰ τῆς γεωργίας καὶ τῆς φυτείας. λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ Ἀφροδίτης ἐπὶ τὸν Κρόνον καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. καὶ εἰ μὲν ἀγαθύνεται ὁ τοιοῦτος κλῆρος, σημαίνει ὠφελείας ἀπὸ σπορᾶς καὶ φυτείας, εἰ δὲ κακύνεται, σημαίνει ζημίας καὶ λύπας ἕνεκεν τῶν τοιούτων.

Ὄγδοος κλῆρος· ἀποβάσεων. Ὁ δὲ ὄγδοος κλῆρος σημαίνει τὰ περὶ τῶν ἀποβάσεων, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ Κρόνου ἐπὶ τὸν κύριον τῆς συνόδου τῆς πρὸ τῆς γεννήσεως, εἴπερ ἐστὶν συνοδικὴ ἡ γέννησις, εἰ δὲ μή, ἐπὶ τὸν κύριον τῆς πανσελήνου, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. εἰ μὲν οὖν τύχῃ ὁ τοιοῦτος κλῆρος καὶ ὁ κύριος αὐτοῦ ἐν ὀρθοαναφόρῳ ζῳδίῳ, καὶ ἀγαθύνωνται, ἀγαθὰς δηλοῦσι τὰς ἀποβάσεις, εἰ δ' ἐν ὀλιγοαναφόροις ὦσι ζῳδίοις, καὶ κακύνωνται, κακὰς σημαίνουσι τὰς ἀποβάσεις.

Πέμπτος τόπος. — Πρῶτος κλῆρος· τέκνων. Ὁ δὲ πέμπτος τόπος ἔχει κλήρους πέντε, ὧν πρῶτός ἐστιν ὁ τῶν τέκνων. λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ Διὸς ἐπὶ τὸν Κρόνον, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. καὶ ἐὰν τύχῃ ὁ τοιοῦτος κλῆρος καὶ ὁ κύριος αὐτοῦ ἐν πολυσπέρμῳ ζῳδίῳ, πολύτεκνος ἔσται· εἰ δὲ ἐν στειρώδεσι τύχωσι ζῳδίοις, ὀλιγότεκνος ἔσται. καὶ εἰ μὲν ἀγαθύνονται ὄντες ἐν πολυσπέρμῳ ζῳδίῳ, σωθήσονται· εἰ δὲ μή, τελευτήσουσιν.

Δεύτερος κλῆρος· καιροῦ τέκνων. Ὁ δὲ δεύτερος κλῆρος λαμβάνεται ἡμέρας μὲν καὶ νυκτὸς ἀπὸ Ἄρεως ἐπὶ Δία, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. ὅταν οὖν ἐπεμβῇ ὁ Ζεὺς ἐν τῷ τοιούτῳ κλήρῳ ἢ συσχηματισθῇ αὐτῷ, τηνικαῦτα τεκνοποιήσει, καὶ εἰ μέν ἐστιν ἐν ἀρρενικῷ ζῳδίῳ, ἄρρεν ἀπογεννήσει, εἰ δ' ἐν θηλυκῷ, θῆλυ.

Τρίτος κλῆρος· περὶ ἀρρενογονίας. Ὁ δὲ

---

8 *ζημίας* AS, *ζημίαν* a 11 *τῆς - γεννήσεως* a, om. AS 12 *συνοδικὴ* aA, *πανσέληνος* S *πανσελήνου* Aa, *συνόδου* S 14 *ὀρθοαναφόρῳ* aA, *ὀρθαναφόρῳ* S 15 *ἀγαθύνωνται* AS, *ἀγαθύνονται* a *ὀλιγοαναφόρῳ* AS, *ὀλιγοαναφόροις* a 16 *κακύνωνται* S, *κακύνονται* Aa 18 *πέμπτος τόπος* Aa, *κλῆρος* S 21 *ἐὰν* A, *ἄν* aS 26 *καιροῦ τέκνων* Aa, *περὶ καιρίων καὶ τέκνων* S 30 *ἄρρεν ἀπογεννήσει* Aa, *ἄρρενα γενήσονται* S 32 *ἀρρενογονίαν* Aa

τρίτος κλῆρος σημαίνει περὶ ἀρρενογονίας. λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ Σελήνης ἐπὶ τὸν Δία, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. οὗτος οὖν ὁ κλῆρος καὶ ὁ κύριος αὐτοῦ καλῶς κείμενοι καὶ ἀγαθυνόμενοι ἀρρενογονίαν ποιοῦσιν.

Τέταρτος κλῆρος· θηλυγονίας. Ὁ δὲ τέταρτος κλῆρος λαμβάνεται ἡμέρας καὶ νυκτὸς ἀπὸ Σελήνης ἐπὶ Ἀφροδίτην, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. οὗτος οὖν ὁ κλῆρος σημαίνει τὰ τῶν θηλέων τέκνων καὶ τοὺς γάμους αὐτῶν. καλῶς οὖν κείμενος σημαίνει εὐεξίαν τῶν θηλέων τέκνων, εὐτυχίαν καὶ γάμον χρηστόν, κακῶς δὲ κείμενος τὸ ἀνάπαλιν.

Πέμπτος πλῆρος· ἆρα τὸ ἐν γαστρὶ ἄρρεν ἐστὶν ἢ θῆλυ. Ὁ δὲ πέμπτος κλῆρος σημαίνει ἐν τῇ ἐρωτήσει ἆρά γε τὸ ἐν γαστρὶ ἄρρεν ἐστὶν ἢ θῆλυ. λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ οἰκοδεσπότου τῆς Σελήνης ἐπὶ τὴν Σελήνην, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. εἰ μὲν οὖν ὁ τοιοῦτος κλῆρος ἐν ἀρρενικῷ ζῳδίῳ ἐστίν, ἄρρεν ἐστὶν τὸ ἐν γαστρί, εἰ δὲ ἐν θηλυκῷ, θῆλυ.

Ἕκτος τόπος. — Πρῶτος κλῆρος· ἀρρωστίας καὶ τῶν παθῶν. Ὁ δὲ ἕκτος τόπος ἔχει κλήρους τέσσαρας, ὧν πρῶτός ἐστιν ὁ τῆς ἀρρωστίας καὶ τῶν παθῶν. λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ Κρόνου ἐπὶ τὸν Ἄρη, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, ὁ τοιοῦτος οὖν κλῆρος καὶ ὁ κύριος αὐτοῦ κακυνόμενος πολυάρρωστον σημαίνει τὸν γεννηθέντα, ἀγαθυνόμενος δὲ ὀλιγοάρρωστον.

Δεύτερος κλῆρος· παρατάσεως τῶν νοσημάτων. Ὁ δὲ δεύτερος κλῆρός ἐστι τῶν ταχέως παρερχομένων νοσημάτων, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ Ἑρμοῦ ἐπὶ τὸν Ἄρη, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. οὗτος οὖν ὁ κλῆρος σημαίνει τὰς ταχέως παρερχομένας νόσους. ὅτε οὖν κακωθῇ αὐτός τε καὶ ὁ κύριος αὐτοῦ, σημαίνει νόσους, πλὴν εὐδιαλύτους, εἰ δὲ ἀγαθύνονται, ἀπαλλαγὴν σημαίνει τῶν νόσων.

Τρίτος κλῆρος· δούλων. Ὁ δὲ τρίτος κλῆρός ἐστιν

---

1 ἡμέρας Aa, ἡμέρας μὲν S 6 λαμβάνεται Aa, om. S.
8 τοὺς γάμους S, τὸν γάμον a, τοῦ γάμου A οὖν om. AS
12 ἄρρεν ἢ θῆλυ ἐστὶ a 13 ἐν γαστρὶ Aa, ἐν τῇ κοιλίᾳ ἢ ἐν τῇ γαστρὶ S 15 ὁ τοιοῦτος S, οὗτος Aa 24 ἀγαθυνόμενος Aa, ἀγαθυνόμενοι S 26 ταχέως Aa, ταχέως τι S
27 λαμβάνεται Aa, λάβε S

ὁ τῶν δούλων, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ Ἑρμοῦ ἐπὶ Σελήνην, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. ὁ οὖν τοιοῦτος κλῆρος καὶ ὁ κύριος αὐτοῦ ἀγαθυνόμενοι ὠφέλειαν σημαίνουσι παρὰ τῶν δούλων, κακυνόμενοι δὲ βλάβην.

Τέταρτος κλῆρος · αἰχμαλωσίας. Ὁ δὲ τέταρτος κλῆρός ἐστι περὶ αἰχμαλωσίας καὶ συνοχῆς, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ οἰκοδεσπότου τοῦ Ἡλίου ἐπὶ τὸν Ἥλιον, νυκτὸς δὲ ἀπὸ τοῦ οἰκοδεσπότου τῆς Σελήνης ἐπὶ τὴν Σελήνην, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. ὁ οὖν τοιοῦτος κλῆρος καλῶς κείμενος σημαίνει ἐλευθερίαν ἀπὸ αἰχμαλωσίας καὶ φυλακῆς, εἰ δὲ κακῶς κεῖται, ἐπίμονα σημαίνει τὰ δεινά.

Ἕβδομος τόπος. Πρῶτος κλῆρος · γάμου ἀνδρῶν. Ὁ δὲ ἕβδομος τόπος ἔχει κλήρους ἑκκαίδεκα, ὧν πρῶτός ἐστιν ὁ κλῆρος τοῦ γάμου τῶν ἀνδρῶν, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ Κρόνου ἐπὶ Ἀφροδίτην, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου, σημαίνει δὲ ὁ τοιοῦτος κλῆρος τὰ περὶ τοῦ γάμου τῶν ἀνδρῶν. καλῶς οὖν οὗτος κείμενος καλὸν γάμον παρέχει τῷ ἀνδρί, καὶ συζευχθήσεται γυναικὶ ὡραιοτάτῃ, καὶ ὠφεληθήσεται δι' αὐτῆς · εἰ δὲ κακῶς κεῖται, τὸ ἀνάπαλιν.

Δεύτερος κλῆρος κατὰ Οὐάλεντα. Ὁ δὲ δεύτερος κλῆρός ἐστι τοῦ γάμου τῶν ἀνδρῶν κατὰ Οὐάλεντα (1), *λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ τοῦ Ἡλίου ἐπὶ τὴν Ἀφροδίτην, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου.*

Τρίτος κλῆρος · ἀπάτης ἀνδρῶν πρὸς γυναῖκας. Ὁ δὲ τρίτος κλῆρος σημαίνει τὰ τῆς ἀπάτης τῶν ἀνδρῶν πρὸς τὰς γυναῖκας, λαμβάνεται δὲ ὁμοίως τῷ προρρηθέντι κατα Οὐάλεντα κλήρῳ.

Τέταρτος κλῆρος · συνουσίας ἀνδρῶν. Ὁ δὲ τέταρτος κλῆρός ἐστιν τῆς συνουσίας τῶν ἀνδρῶν πρὸς τὰς

---

2 *ὁ - κλῆρος* AS, *τοῦ οὖν τοιούτου κλήρου ὁ κύριος αὐτοῦ* a 3 *ἀγαθυνόμενοι* AS, *ἀγαθυνόμενος* a 4 *κακυνόμενοι* AS, *κακυνόμενος* a 17 *παρέχει* A, *περιέχει* aS 18 *καὶ συζευχθήσεται* A, *συζευχθήσεται γὰρ* a, *συζευχθήσεται* S 22 *ἡμέρας καὶ νυκτὸς* Aa, om. S 24 *ἀνδρῶν πρὸς γυναῖκας* A, *ἀνδρῶν καὶ γυναικῶν* aS

---

(1) Cf. Vett. Val. II, 38, (p. 119, 10 Kroll).

γυναῖκας, λαμβάνεται δὲ καὶ οὗτος ὁ κλῆρος ὁμοίως τῷ προρρηθέντι κατὰ Οὐάλεντα κλήρῳ.

Πέμπτος κλῆρος· ἀσωτίας ἀνδρῶν. Ὁ δὲ πέμπτος κλῆρός ἐστιν ὁ τῆς τῶν ἀνδρῶν ἀσωτίας, λαμβάνεται δὲ καὶ οὗτος ὁμοίως τῷ προρρηθέντι κλήρῳ κατὰ Οὐάλεντα.

Ἕκτος κλῆρος· γάμου γυναικῶν[1]. Ὁ δὲ ἕκτος κλῆρός ἐστιν ὁ περὶ γάμου γυναικῶν, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ τῆς Ἀφροδίτης ἐπὶ τὸν Κρόνον, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. καλῶς οὖν κείμενος ὁ τοιοῦτος κλῆρος ἀγαθὸν γάμον παρέχει ταῖς γυναιξί, κακῶς δὲ τὸ ἀνάπαλιν.

Ἕβδομος κλῆρος κατὰ Οὐάλεντα. Ὁ δὲ ἕβδομος κληρός ἐστιν ὁ τοῦ γάμου τῶν γυναικῶν, κατὰ Οὐάλεντα. λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ τῆς Σελήνης ἐπὶ τὸν Ἄρη, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου.

Ὄγδοος κλῆρος· ἀπάτης γυναικῶν πρὸς ἄνδρας. Ὁ δὲ ὄγδοος κλῆρός ἐστιν ὁ τῆς ἀπάτης τῶν γυναικῶν πρὸς τοὺς ἄνδρας. καὶ οὗτος ὁμοίως λαμβάνεται τῷ προρρηθέντι κλήρῳ κατὰ Οὐάλεντα.

Ἔννατος κλῆρος· συνουσίας. Ὁ δὲ ἔννατος κλῆρός ἐστιν ὁ τῆς συνουσίας τῶν γυναικῶν. ἔστι δὲ ὅμοιος τῷ προρρηθέντι κλήρῳ κατὰ Οὐάλεντα.

Δέκατος κλῆρος· μοιχείας γυναικῶν. Ὁ δὲ δέκατος κλῆρός ἐστιν ὁ τῆς μοιχείας τῶν γυναικῶν, ἔστι δὲ ὅμοιος τῷ κλήρῳ τοῦ γάμου τῶν γυναικῶν κατὰ Οὐάλεντα.

Ἑνδέκατος κλῆρος· σωφροσύνης γυναικῶν. Ὁ δὲ ἑνδέκατος κλῆρός ἐστιν ὁ τῆς σωφροσύνης τῶν γυναικῶν, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ Σελήνης ἐπὶ Ἀφροδίτην, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου.

Δωδέκατος κλῆρος· γάμων ἀνδρῶν καὶ γυναικῶν. Ὁ δὲ ἑνδέκατος κλῆρός ἐστιν ὁ τοῦ γάμου τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν,λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ

---

3 ἀσωτίας ἀνδρῶν AS, ἀνδρῶν ἀσωτίας a 15 οὗτος Aa, οὕτως S 16 πρὸς ἄνδρας Aa, om. S 18 κλήρῳ om. a 22 ὁμοίως a ; et l. 23. 25 κλῆρος corr., τόπος codd.

---

(1) Cf. Vett. Val. II, 38.

Ἀφροδίτης μέχρι τῆς μοίρας τοῦ ἑβδόμου τόπου, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου.

Τρισκαιδέκατος κλῆρος· καιροῦ γάμων. Ὁ τρισκαιδέκατος κλῆρός ἐστιν ὁ τὸν καιρὸν σημαίνων τοῦ γάμου, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ Ἡλίου ἐπὶ Σελήνην, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. ὅταν οὖν καταλάβῃ τὸν τοιοῦτον κλῆρον ὁ Ζεύς, γάμον προξενεῖ.

Τεσσαρακαιδέκατος κλῆρος· εὐχερείας καὶ δυσχερείας. Ὁ δὲ τεσσαρακαιδέκατος κλῆρός ἐστιν ὁ περὶ εὐχερείας καὶ δυσχερείας γάμου, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ Ἡλίου ἐπὶ Σελήνην, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου.

Πεντεκαιδέκατος κλῆρος· γαμβρῶν. Ὁ δὲ πεντεκαιδέκατος κλῆρός ἐστιν ὁ τῶν γαμβρῶν, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ Κρόνου ἐπὶ Ἀφροδίτην, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου.

Ἑκκαιδέκατος κλῆρος· φιλονεικιῶν. Ὁ δὲ ἑκκαιδέκατος κλῆρός ἐστιν ὁ τῶν φιλονεικιῶν καὶ τῶν ἐρίδων, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ Ἄρεως ἐπὶ Δία, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου.

Ὄγδοος τόπος. — Πρῶτος κλῆρος· θανάτου. Ὁ δὲ ὄγδοος τόπος ἔχει κλήρους πέντε, πρῶτον μὲν τὸν τοῦ θανάτου, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ τῆς Σελήνης μέχρι τῆς μοίρας τοῦ ὀγδόου τόπου, καὶ τὰ ἴσα ἀπὸ τῆς μοίρας τοῦ Κρόνου. εἰ μὲν οὖν ἐστιν ὁ τοιοῦτος κλῆρος κεκακωμένος καὶ ὁ κύριος αὐτοῦ, καὶ μὴ ἐφορῶνται ὑπὸ ἀγαθοποιοῦ, βίαιον ὑποστήσεται θάνατον· εἰ δ' ὑπὸ ἀγαθοποιοῦ ἐφορᾶται, εἰρηνικὸν τελευτήσει θάνατον.

Δεύτερος κλῆρος· ἀναιρετικοῦ ἀστέρος. Ὁ δὲ δεύτερος κλῆρός ἐστιν περὶ ἀναιρετικοῦ ἀστέρος, λαμβάνεται δὲ ἀπὸ τῆς μοίρας τοῦ κυρίου τοῦ ὡροσκόπου μέχρι τῆς μοίρας τῆς Σελήνης, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. εἰ μὲν οὖν ἐφορᾷ τὸν κύριον τοῦ τοιούτου κλήρου ἡ Σελήνη, καὶ τύχῃ κεκακωμένος ἐν

---

1 τῆς μοίρας τοῦ ἑβδόμου A, μέχρι μ. τ. ἑ. a, μέχρι τοῦ ἑβδόμου S 6 γοῦν A 9 δυσχερείας Aa, δυστυχίας S 11 ὡροσκόπου S, ἀπὸ τῆς Ἀφροδίτης Aa 20 Τόπος ὄγδοος S 23 τοῦ Aa, ἀπὸ τοῦ S 24 καὶ ὁ κύριος αὐτοῦ κεκακωμένος Aa 25 ὑφορῶνται codd. 26 θάνατον εἰ Aa, ει S 30 τῆς μοίρας Aa, τοῦ κυρίου τῆς μοίρας S

μελοκοπουμένῳ ζῳδίῳ, φονευθήσεται ὁ ἔχων τὸν τοιοῦτον κλῆρον τοιουτοτρόπως · εἰ δὲ ἀγαθύνεται, σωθήσεται.

Τρίτος κλῆρος · καιροῦ θανάτου. Ὁ δὲ τρίτος κλῆρός ἐστιν ὁ σημαίνων κατὰ ποῖον καιρὸν ὀφείλει φοβεῖσθαι τὸν θάνατον. λαμβάνεται δὲ οὗτος ἡμέρας καὶ νυκτὸς ἀπὸ τῆς μοίρας τοῦ Κρόνου ἐπὶ τὸν κύριον τῆς γενομένης συνόδου ἢ τῆς πανσελήνου, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. ὅτε οὖν κακοῦται ὁ κλῆρος καὶ ὁ κύριος αὐτοῦ, ἔσται πολύνοσος ὁ γεννηθείς, καὶ ὅταν ἐπεμβῇ τούτῳ κακοποιός, φόβον θανάτου ὑποστήσεται.

Τέταρτος κλῆρος · δυσχερείας. Ὁ δὲ τέταρτος κλῆρός ἐστιν ὁ τῆς δυσχερείας, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ Κρόνου ἐπὶ τὸν Ἄρη, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. εἰ μὲν οὖν ἐστιν ὁ τοιοῦτος κλῆρος σὺν τῷ κυρίῳ τοῦ ὡροσκόπου, καί εἰσιν ἀμφότεροι κεκακωμένοι, δυστυχὴς ἔσται ὁ γεννηθείς, καὶ δυσχερείας πολλὰς ὑποστήσεται. εἰ δὲ ἀγαθύνονται, πρᾳότερα τὰ δεινά.

Πέμπτος κλῆρος · ἀνάγκης. Ὁ δὲ πέμπτος κλῆρός ἐστιν ὁ τῆς ἀνάγκης, λαμβάνεται δὲ ἡμέρας ἀπὸ Κρόνου ἐπὶ Ἀφροδίτην, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. ὁ οὖν τοιοῦτος κλῆρος κακούμενος ποιεῖ συνοχὰς καὶ θλίψεις καὶ ἀνάγκας ἐν τῷ βίῳ καὶ περιστάσεις · ἀγαθυνόμενος δὲ κουφίζει τὰ δεινά.

Ἔνατος τόπος. — Πρῶτος κλῆρος · ἀποδημίας. Ὁ δὲ ἔνατος τόπος ἔχει κλήρους ἑπτά, ὧν πρῶτος ὁ τῆς ἀποδημίας, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ τοῦ κυρίου τοῦ ἐννάτου τόπου μέχρι τῆς μοίρας τοῦ ἐννάτου τόπου, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, καὶ σημαίνει τὰ περὶ ἀποδημίας.

Δεύτερος κλῆρος · πλοός. Ὁ δὲ δεύτερος κλῆρός ἐστι ὁ περὶ πλοός, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ Κρόνου μέχρι τῆς μοίρας τοῦ Καρκίνου, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. καλῶς κείμενος οὖν ὁ κλῆρος εὔπλοιαν σημαίνει, κακῶς δὲ δύσπλοιαν.

Τρίτος κλῆρος · σωφροσύνης. Ὁ δὲ τρίτος κλῆρός ἐστιν περὶ σωφροσύνης, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ Σελήνης ἐπὶ Ἄρη, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου.

---

13 *ὡροσκόπου* aS, *Ἀφροδίτης* (per signum) A *εἰσὶν* S, *ὦσιν* Aa 17-21 Hoc caput omisit S, per homoioteleuton 23 *πρῶτον* S, *πρῶτος ὁ τῆς* Aa 28 *ἡμέρας μὲν* om. S

εἰ μὲν οὖν καλῶς κεῖται καὶ ἀγαθύνεται, σωφροσύνην σημαίνει· εἰ δὲ μή, ἀσωτίαν.

Τέταρτος κλῆρος· συνέσεως. Ὁ δὲ τέταρτος κλῆρός ἐστιν ὁ τῆς συνέσεως, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ Κρόνου ἐπὶ Σελήνην, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. ὁ τοιοῦτος κλῆρος ἀγαθυνόμενος σημαίνει συνετοὺς καὶ ἐχέφρονας, κακυνόμενος δὲ τὸ ἐναντίον.

Πέμπτος κλῆρος· γνώσεως. Ὁ δὲ πέμπτος κλῆρός ἐστι ὁ τῆς γνώσεως, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ Κρόνου ἐπὶ τὸν Δία, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. ὁ τοιοῦτος οὖν κλῆρος καλῶς κείμενος καὶ ἀγαθυνόμενος σημαίνει ἄνδρα λόγιον, κακυνόμενος δὲ ποιεῖ ἀμαθῆ.

Ἕκτος κλῆρος· ὁμιλίας. Ὁ δὲ ἕκτος κλῆρός ἐστιν ὁ περὶ ὁμιλίας, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ Ἡλίου ἐπὶ τὸν Δία, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου, καὶ εἰ μὲν καλῶς κεῖται ὁ τοιοῦτος κλῆρος, εὐόμιλος ἔσται ὁ γεννηθεὶς καὶ χαρίεις καὶ ἀστεῖος· εἰ δ' οὔ, τὸ ἐναντίον.

Ἕβδομος κλῆρος· φήμης. Ὁ δὲ ἕβδομος κλῆρός ἐστιν ὁ περὶ τῆς φήμης, εἰ ἀληθής ἐστιν ἢ ψευδής, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ Ἑρμοῦ ἐπὶ Σελήνην, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. εἰ μὲν οὖν ἐστιν ὁ τοιοῦτος κλῆρος ἐπίνκεντρος ἢ ἐν στερεῷ ζῳδίῳ, ἔστιν ἡ φήμη ἀληθής· εἰ δὲ οὔ, ψευδής.

Δέκατος τόπος. — Πρῶτος κλῆρος· εὐγενείας. Ὁ δὲ δέκατος τόπος ἔχει κλήρους δώδεκα, ὧν πρῶτος ὁ τῆς εὐγενείας· λαμβάνεται δὲ ἀπὸ τῆς μοίρας τοῦ Ἡλίου ἄχρι τῆς μοίρας τοῦ ὑψώματος αὐτοῦ, ἤγουν τῆς ἐννεακαιδεκάτης μοίρας τοῦ Κριοῦ, νυκτὸς δὲ ἀπὸ τῆς μοίρας τῆς Σελήνης ἄχρι τῆς μοίρας τοῦ ὑψώματος αὐτῆς, ἤγουν τῆς τρίτης μοίρας τοῦ Ταύρου, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. ὁ οὖν τοιοῦτος κλῆρος καλῶς κείμενος εὐγενῆ δηλοῖ τὸν γεννηθέντα, κακῶς δὲ δυσγενῆ.

Δεύτερος κλῆρος· ἐξουσίας. Ὁ δὲ δεύτερος κλῆρος σημαίνει περὶ ἐξουσίας, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ Ἄρεως ἐπὶ Σελήνην, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡρο-

---

7 τοὐναντίον a ; et alibi 10 ὡροσκόπου aS, Ἀφροδίτης A 14 μὲν om. A 25 τοῦ Ἡλίου AS, τῆς Σελήνης a 26 αὐτοῦ AS, αὐτῆς a 27 Κριοῦ AS, Ταύρου a 27-28 νυκτὸς - Ταύρου om. a

σκόπου. οὗτος οὖν ὁ κλῆρος καὶ ὁ κύριος αὐτοῦ καλῶς κείμενοι μέγιστην ἐξουσίαν διδόασιν, κακῶς δὲ ἀπραξίαν.

Τρίτος κλῆρος· διοικήσεως κοινῶν πραγμάτων. Ὁ δὲ τρίτος κλῆρός ἐστιν τῶν διοικούντων τὰ κοινὰ πράγματα δηλωτικὸς καὶ τῶν λογοθετῶν καὶ τῶν πρωτονοταρίων. λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ Ἑρμοῦ ἐπὶ τὸν Ἄρη, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. οὗτος οὖν καλῶς κείμενος καὶ ὁ κύριος αὐτοῦ εὐόδωσιν σημαίνει περὶ τῆς διοικήσεως τῶν κοινῶν πραγμάτων, κακῶς δὲ κείμενος τὸ ἀνάπαλιν.

Τέταρτος κλῆρος· νίκης καὶ τροπαίων. Ὁ δὲ τέταρτος κλῆρός ἐστιν ὁ περὶ νίκης καὶ τροπαίων, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ Ἡλίου ἐπὶ Κρόνον, νυκτὸς δὲ τὸ ἀνάπαλιν. εἰ δὲ ὕπαυγός ἐστιν ὁ Κρόνος, λαμβάνεται ἡμέρας μὲν ἀπὸ Ἡλίου ἐπὶ Δία, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. καλῶς οὖν κείμενος οὗτος νίκας καὶ τρόπαια σημαίνει, κακῶς δὲ τὸ ἀνάπαλιν.

Πέμπτος κλῆρος· αἰφνιδίου προκοπῆς. Ὁ δὲ πέμπτος κλῆρος σημαίνει περὶ αἰφνιδίου προκοπῆς, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ Κρόνου ἐπὶ τὸν κλῆρον τῆς Τύχης, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. καλῶς οὖν κείμενος οὗτος ποιεῖ προκοπὰς αἰφνιδίους, κακῶς δὲ κείμενος δυστυχίας αἰφνιδίους.

Ἕκτος κλῆρος· ἀρχόντων. Ὁ δὲ ἕκτος κλῆρος σημαίνει τοὺς φαινομένους ἐν τῷ βίῳ καὶ γνωρίμους καὶ ἄρχοντας, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ Ἑρμοῦ ἐπὶ τὸν Ἥλιον, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. οὗτος οὖν ὁ κλῆρος καὶ ὁ κύριος αὐτοῦ καλῶς κείμενοι ποιοῦσιν ἄρχοντας καὶ οἰκείους βασιλεῦσιν καὶ γνωρίμους.

Ἕβδομος κλῆρος· ὑπουργῶν βασιλέων. Ὁ δὲ ἕβδομος κλῆρος σημαίνει περὶ τῶν ἑπομένων βασιλεῦσιν, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ Ἄρεως ἐπὶ τὸν Κρόνον, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. οὗτος οὖν καὶ ὁ κύριος αὐτοῦ καλῶς κείμενοι σημαίνει εὐτυχεῖς ὑπουργοῦς βασιλέων.

Ὄγδοος κλῆρος· πράξεως καὶ ἐξουσίας. Ὁ δὲ ὄγδοος κλῆρος σημαίνει τὰ τῆς πράξεως καὶ τῆς ἐξουσίας,

---

1 κείμενοι Aa, κείμενος S 2 διδόασι Aa, δίδωσιν S 5 δηλοτικὸς - πρωτονοταρίων Aa, om. S 8 τῆς διοικήσεως S, τὰς διοικήσεις A, τοὺς διοικητὰς a 33 κείμενοι Aa, κείμενος S cf. l. 1.

λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ τοῦ Κρόνου ἐπὶ τὴν Σελήνην καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. καλῶς οὖν κείμενος σημαίνει ἐξουσίαν καὶ κέρδος ἀπὸ πράξεων, κακῶς δὲ κείμενος τὸ ἀνάπαλιν.

Ἔννατος κλῆρος· τεχνῶν καὶ πραγματειῶν. Ὁ δὲ ἔννατος κλῆρος σημαίνει τὰ περὶ τῶν χειροτεχνῶν καὶ τῶν πραγματειῶν, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ Ἑρμοῦ ἐπὶ Ἀφροδίτην, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. οὗτος οὖν καλῶς κείμενος σημαίνει εὐτυχίαν περὶ τὰς βαναύσους τέχνας, ἔτι δὲ καὶ πραγματείας, κακῶς δὲ κείμενος τὸ ἀνάπαλιν.

Δέκατος κλῆρος· πράσεως καὶ ἀγορασίας. Ὁ δὲ δέκατος κλῆρός ἐστι περὶ πράσεως καὶ ἀγορασίας, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ κλήρου τοῦ Δαίμονος ἐπὶ τὸν κλῆρον τῆς Τύχης, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. καλῶς οὖν οὗτος κείμενος κέρδη σημαίνει περὶ τὰς ἐμπορίας, κακῶς δέ, ζημίας.

Ἑνδέκατος κλῆρος· σπουδαίων πραγμάτων. Ὁ δὲ ἑνδέκατος κλῆρός ἐστι περὶ σπουδαίων πραγμάτων, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ Ἡλίου ἐπὶ τὸν Δία, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. καλῶς οὖν κείμενος οὗτος σημαίνει εὐτυχίαν περὶ τὰ σπουδαῖα τῶν πραγμάτων, κακῶς δέ, τὸ ἀνάπαλιν.

Δωδέκατος κλῆρος· μητρός. Ὁ δὲ δωδέκατος κλῆρός ἐστιν ὁ τῆς μητρός, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ Ἀφροδίτης ἐπὶ Σελήνην, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. οὗτος καλῶς κείμενος σημαίνει ἀγαθὰ περὶ τὴν μητέρα, κακῶς δέ, τὸ ἀνάπαλιν.

Ἑνδέκατος τόπος.—<Πρώτος> κλῆρος· εὐτυχίας. Ὁ δὲ τόπος ὁ ἑνδέκατος ἔχει κλήρους ἕνδεκα, ὧν πρῶτος ὁ περὶ εὐτυχίας, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ κλήρου τῆς Τύχης ἐπὶ τὸν κλῆρον τοῦ Δαίμονος, νυκτὸς δὲ τὸ ἀνάπαλιν,καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. ὁ οὖν τοιοῦτος κλῆρος καλῶς κείμενος εὐτυχίαν σημαίνει, κακῶς δὲ δυστυχίαν.

Δεύτερος κλῆρος· φιλίας καὶ μίσους τοῦ γεννηθέντος. Ὁ δὲ δεύτερος κλῆρός ἐστιν ὁ περὶ τῆς φιλίας

---

2 κειμένου A 3 κέρδη A 5 πραγματειῶν A, πραγμάτων aS 7 μὲν om. Aa 28 Πρῶτος om. codd. 29 ἑνδέκατος τόπος Aa 35 δὲ Aa, om. S

καὶ τοῦ μίσους τοῦ γεννηθέντος. λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ κλήρους τῆς Τύχης ἐπὶ τὸν κλῆρον τοῦ Δαίμονος,νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. ὁ οὖν τοιοῦτος κλῆρος ἀγαθυνόμενος φίλτατον σημαίνει τὸν γεννηθέντα πρὸς πάντας, κακῶς δὲ κείμενος παρὰ πάντων μισούμενον.

Τρίτος κλῆρος· τιμῆς. Ὁ δὲ τρίτος κλῆρος σημαίνει περὶ τιμῆς, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ κλήρου τῆς Τύχης ἄχρι τοῦ Ἡλίου, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. ὁ οὖν τοιοῦτος κλῆρος ἀγαθυνόμενος διάτιμον σημαίνει τὸν γεννηθέντα παρὰ πᾶσι, κακυνόμενος δέ, τὸ ἀνάπαλιν.

Τέταρτος κλῆρος· εὐοδώσεως. Ὁ δὲ τέταρτος κλῆρός ἐστιν ὁ περὶ τῆς εὐοδώσεως, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ κλήρου τῆς Τύχης ἐπὶ τὸν Δία, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. ὁ οὖν τοιοῦτος κλῆρος ἀγαθυνόμενος σημαίνει εὐόδωσιν ἐν τοῖς ἀνὰ χεῖρα πράγμασι, κακυνόμενος δὲ τὸ ἀνάπαλιν.

Πέμπτος κλῆρος· ἐπιθυμιῶν. Ὁ δὲ πέμπτος κλῆρός ἐστιν ὁ περὶ τῶν ἐπιθυμιῶν, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ κλήρου τῆς Τύχης ἐπὶ τὸν κλῆρον τοῦ Δαίμονος, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. καλῶς οὖν οὗτος κείμενος σημαίνει κυριεύειν τὸν γεννηθέντα τῶν ἐπιθυμιῶν αὐτοῦ, εἰ δ' οὔ, τοὐναντίον.

Ἕκτος κλῆρος· ἐλπίδων. Ὁ δὲ ἕκτος κλῆρός ἐστιν ὁ τῶν ἐλπίδων, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ Κρόνου ἐπὶ τὴν Ἀφροδίτην, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. ὁ οὖν τοιοῦτος κλῆρος καλῶς κείμενος ἐπιτυχίαν τῶν ἐλπίδων σημαίνει, κακῶς δὲ ἀποτυχίαν.

Ἕβδομος κλῆρος· φίλων. Ὁ δὲ ἕβδομος κλῆρός ἐστιν ὁ περὶ τῶν φίλων, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ Σελήνης μέχρι τοῦ Ἑρμοῦ, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, ὁ οὖν τοιοῦτος κλῆρος καλῶς κείμενος πολυφιλίαν καὶ ὠφέλειαν ποιεῖ παρὰ τῶν φίλων, κακῶς δὲ τοὐναντίον.

Ὄγδοος κλῆρος ·συμφιλιώσεως. Ὁ δὲ ὄγδοος

---

5 **κακῶς κείμενος** S, **εἰ δὲ κακῶς κεῖται** Aa 9 **διάτιμον** S, **διὰ τιμῆς** Aa 10 **παρὰ** S, **εἶναι παρὰ** Aa **ἀνάπαλιν** AS, **ἐναντίον** a 14 **γοῦν** Aa 15 **ἀνὰ** Aa, **ἐπὶ** S 30 **τὰ ἴσα** om. A **γοῦν** A 32 **παρὰ τῶν φίλων ποιεῖ** Aa

κλῆρός ἐστιν ὁ περὶ συμφιλιώσεως, λαμβάνεται δὲ καὶ ἡμέρας καὶ νυκτὸς ἀπὸ τοῦ κλήρου τοῦ Δαίμονος ἐπὶ τὴν Ἀφροδίτην, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. ὁ οὖν τοιοῦτος κλῆρος εὑρισκόμενος ἐπὶ γενέσεως ἀνδρὸς καὶ γυναικὸς ἐν τῷ αὐτοῦ τόπῳ συμφιλιώσεις ποιεῖ, διαμετρούμενος δὲ ἢ τετραγωνιζόμενος ἔχθρας.

Ἔνατος κλῆρος· ἀγαθῶν οἴκου. Ὁ δὲ ἔνατος κλῆρός ἐστιν ὁ περὶ τῶν τοῦ οἴκου ἀγαθῶν, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ τῆς Σελήνης μέχρι τοῦ Ἑρμοῦ, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. οὗτος οὖν καλῶς κείμενος εὐθηνίαν ποιεῖ τῶν ἀγαθῶν, κακῶς δὲ τοὐναντίον.

Δέκατος κλῆρος· ἐλευθεριότητος ψυχῆς. Ὁ δὲ δέκατος κλῆρος σημαίνει τὴν τῆς ψυχῆς ἐλευθεριότητα, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ Ἑρμοῦ ἐπὶ Ἥλιον, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. οὗτος οὖν καλῶς κείμενος σημαίνει ἐλευθερίαν ψυχῆς καὶ μεγαλοδωρεότητα, κακῶς δέ, σμικρολογίαν καὶ φειδωλίαν.

Ἑνδέκατος κλῆρος· ἐπαίνων. Ὁ ἐνδέκατος κλῆρος σημαίνει περὶ ἐπαινετῶν ἀνθρώπων, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ Διὸς ἐπὶ τὴν Ἀφροδίτην, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. καλῶς οὖν κείμενος οὗτος ἐπαινούμενον σημαίνει τὸν γεννηθέντα παρὰ πάντων, κακῶς δέ, τοὐναντίον.

Δωδέκατος τόπος. — Πρῶτος κλῆρος· ἐχθρῶν. Ὁ δὲ δωδέκατος τόπος ἔχει κλήρους τρεῖς, ὧν πρῶτος ὁ περὶ τῶν ἐχθρῶν, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ Κρόνου ἐπὶ Ἄρη, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. καλῶς οὖν οὗτος κείμενος ὀλίγους σημαίνει τοὺς ἐχθροὺς καὶ ὀλίγην τὴν ἐξ αὐτῶν βλάβην, κακῶς δέ, τὸ ἀνάπαλιν.

Δεύτερος κλῆρος· ἐχθρῶν κατὰ Ἑρμῆν. Ὁ δὲ δεύτερος κλῆρός ἐστιν καὶ αὐτὸς τῶν ἐχθρῶν κατὰ Ἑρμῆν, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ τοῦ οἰκοδεσπότου τοῦ δωδεκάτου τόπου ἄχρι τῆς <α'?> μοίρας τοῦ δωδεκάτου τόπου, καὶ ἴσα τὰ ἀπὸ ὡροσκόπου.

---

1 *καὶ ἡμέρας* S, *ἡμέρας* Aa 7 *λαμβάνεται* Aa, *λάβε* S 9 *ποιεῖται* Aa 17 *κλῆρος* corr.) *τόπος* codd. 18 *περὶ ἐπαίνων* AS, *ἐπαινετῶν ἀνθρώπων* a 20 *κείμενος οὗτος* S, *οὗτος κείμενος* a, *κείμενος οὗτος* A 25 *οὗτος* om. A 28 *κατὰ Ἑρμῆν* Aa, om. S. Intellege « secundum Hermetem Trismegistum » 20. Suppl. *ἄχρι τῆς <πρώτης> μοίρας*?

Τρίτος κλῆρος· ταλαιπωρίας. Ὁ δὲ τρίτος κλῆρός ἐστιν ὁ περὶ ταλαιπωρίας, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ τοῦ κλήρου τοῦ Δαίμονος ἐπὶ τὸν κλῆρον τῆς Τύχης, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. ὁ οὖν τοιοῦτος κλῆρος κακῶς κείμενος σημαίνει δυστυχίας καὶ ταλαιπωρίας, καλῶς δὲ τὸ ἀνάπαλιν.

[F. 315] F *ξς'. Περὶ κλήρων τῶν μὴ ἀναφερομένων μήτε εἰς τοὺς ἑπτὰ πλάνητας μήτε εἰς τοὺς δώδεκα τόπους*

Πρῶτος κλῆρος· ἀφέτου. Πρῶτος κλῆρός ἐστι τοῦ ἀφέτου, λαμβάνεται δέ, εἴπερ συνοδική ἐστιν ἡ γέννησις, ἀπὸ τῆς μοίρας τῆς προγενομένης συνόδου ἐπὶ τὴν Σελήνην· εἰ δέ ἐστιν ἡ γέννησις πανσεληνιακή, ἀπὸ τῆς μοίρας τῆς πανσελήνου ἄχρι τῆς Σελήνης, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. ὁ δὲ τοιοῦτος τόπος μεγάλας δυνάμεις ἔχει, καὶ διὰ τοῦτο ποιοῦσι τὸν περίπατον αὐτοῦ. καὶ ὅταν καταντήσῃ εἰς ἀγαθοποιόν, ἀγαθὸν δηλοῖ, ὅταν δὲ εἰς κακοποιόν, κλιμακτῆρα ἐπιφέρει. πρὸ γὰρ τοῦ εὑρεθῆναι τὸν τοιοῦτον κλῆρον, ἐγίνοντο μεγάλοι κλιμακτῆρες, ὧν τὰς αἰτίας οὐκ εὕρισκον οἱ ἀρχαῖοι· ἀφ' οὗ δὲ εὑρέθη, ἔγνωσαν οἱ ἄνθρωποι τὰς αἰτίας τῶν κλιμακτήρων πάντων.

Δεύτερος κλῆρος· παχυσώμων ἀνθρώπων καὶ ἰσχνῶν. Ὁ δὲ δεύτερος κλῆρος σημαίνει περὶ παχυσώμων ἀνθρώπων καὶ ἰσχνῶν, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ κλήρου τῆς Τύχης ἐπὶ τὸν Ἄρη, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. οὗτος ὁ κλῆρος συνὼν τῷ κυρίῳ τοῦ ὡροσκόπου ἐν ὑγρῷ ζῳδίῳ παχυσώμους ποιεῖ, κεκακωμένος δὲ ἐν ξηρῷ ζῳδίῳ ἰσχνοὺς ποιεῖ.

Τρίτος κλῆρος· ἱππασίας. Ὁ δὲ τρίτος κλῆρός ἐστιν ὁ τῆς ἱππασίας, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ Κρόνου ἐπὶ Σελήνην, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. καλῶς οὖν κείμενος οὗτος καὶ τριγωνιζόμενος ἢ ἐξαγωνιζόμενος παρὰ

---

4 *κακῶς* S, *καλῶς* Aa. 6 A f. 90ᵛ ; a f.92ᵛ 14 *καὶ διὰ* Aa, *διὰ* S. 15 *ἀγαθὸν* codd. *κακο* et *π* supra o script. A, *κακὸν* aS 17 *ἐγίνοντο* Aa, *ἐπιγίνονται* S *μεγάλοι* a, *με* et *Γλ* suprascripta A, *μεγάλαι* S 18 *εὑρέθησαν* codd. corr. 19 *πάντων* Aa, om. S 21 *περὶ* Aa om. S 27 *κλῆρος* A, *τόπος* aS

τοῦ Ἄρεως ἢ τοῦ Διὸς ἀνδρείους καὶ γενναίους καὶ ἱππότας δηλοῖ, κακυνόμενος δέ, τούναντίον.

Τέταρτος κλῆρος· τόλμης καὶ πολέμου. Ὁ δὲ τέταρτος κλῆρός ἐστι τῆς τόλμης καὶ τοῦ πολέμου, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ κυρίου τοῦ ὡροσκόπου ἐπὶ τὴν Σελήνην, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. ὁ οὖν τοιοῦτος ὑπ' ἀγαθοποιοῦ ἐφορώμενος τροπαιούχους σημαίνει, ὑπὸ δὲ κακοποιοῦ τοὐναντίον.

Πέμπτος κλῆρος· πανουργίας καὶ ἀπάτης καὶ δόλου. Ὁ δὲ πέμπτος κλῆρός ἐστιν περὶ πανουργίας καὶ ἀπάτης καὶ δόλου, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ Ἑρμοῦ ἐπὶ τὸν κλῆρον τοῦ δαίμονος, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. οὗτος συσχηματιζόμενος τῷ κυρίῳ τοῦ ὡροσκόπου ἀπατεῶνας καὶ δολίους ποιεῖ, καί, εἰ ἀγαθοποιῷ συσχηματίζεται, ὠφεληθήσεται διὰ τῶν τοιούτων· εἰ δὲ κακοποιῷ, βλαβήσεται.

Ἕκτος κλῆρος· εὐοδώσεως τῶν ἀνὰ χεῖρα πραγμάτων. Ὁ δὲ ἕκτος κλῆρός ἐστι περὶ εὐοδώσεως τῶν ἀνὰ χεῖρα πραγμάτων, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ Κρόνου ἐπὶ Ἄρη, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. οὗτος καλῶς κείμενος εὐόδωσιν σημαίνει ἐν τοῖς ἀνὰ χεῖρα πράγμασι, εἰ δὲ κακῶς, τοὐναντοίν.

Ἕβδομος κλῆρος· βίας. Ὁ δὲ ἕβδομος κλῆρός <ἐστι περὶ βίας>, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ τοῦ Ἄρεως ἐπὶ τὴν μοῖραν τοῦ τρίτου τόπου, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου.

Ὄγδοος κλῆρος· κακώσεως. Ὁ δὲ ὄγδοος κλῆρος κατὰ Πέρσας <ἐστι περὶ κακώσεως>, λαμβάνεται δὲ ἡμέρας καὶ νυκτὸς ἀπὸ τοῦ κλήρου τῆς φιλίας ἄχρι Ἑρμοῦ, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, κακυνόμενος δὲ ὁ τοιοῦτος κλῆρος κακύνει τοὺς γεννηθέντας, ἀγαθυνόμενος δὲ ἀγαθύνει.

Ἔνατος κλῆρος· ἀνταποδόσεως. Ὁ δὲ ἔνατος κλῆρός ἐστιν ὁ τῆς ἀνταποδόσεως, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ Ἄρεως ἐπὶ τὸν Ἥλιον, νυκτὸς δὲ τὸ ἀνάπαλιν. οὗτος ἀγα-

---

7 ἀγαθοποιῷ a, ἀγαθο ⟨t⟩ π supra o scriptum A, ὑπὸ ἀγαθοποιοῦ S κακοποιῷ a, κακοποιοῦ S, κακοπ A 18 νυκτὸς καὶ ἡμέρας S 22-23 ἐστι περὶ βίας om.codd. 23 δὲ S, im. Aa 26 ἔστι περὶ κακώσεως om. codd. 28-29 κακυνόμενοι δὲ οἱ τοιοῦτοι κλῆροι τ. γ. ἀγαθυνόμενοι δὲ κακύνουσι ἀγαθύνουσιν Aa

θυνόμενος σημαίνει τὸν γεννηθέντα εὐχάριστον εἶναι καὶ ἀνταποδοτικόν, κακῶς δὲ κεμείνος ἀχάριστον καὶ ἀγνώμονα.

Δέκατος κλῆρος· ἀληθείας. Ὁ δὲ δέκατος κλῆρός ἐστιν ὁ τῆς ἀληθείας, λαμβάνεται δὲ ἡμέρας μὲν ἀπὸ τοῦ Ἑρμοῦ ἐπὶ τὸν Ἄρη, νυκτὸς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. οὗτος οὖν καλῶς κείμενος ἀληθεῖς ἀνθρώπους σημαίνει, κακῶς δέ, ψευδεῖς.

[F. 322] *ζ'. Περὶ τοῦ γνῶναι ἀπὸ τοῦ κλήρου τῆς Τύχης τὸν πυνθανόμενον περὶ τίνος θέλει ἐρωτᾶν.*

Ἐπὶ ἑκάστῃ καταρχῇ λάμβανε τὸν κλῆρον τῆς Τύχης, καὶ σκόπει ἐν πόστῳ τόπῳ ἐστὶ τοῦ ὡροσκόπου,καὶ ἐὰν εὕρῃς τὸν κλῆρον τῆς Τύχης ἐπὶ τοῦ ὡροσκόπου, λέγε αὐτὸν ἐθέλειν ἐρωτᾶν περὶ ζωῆς καὶ ὑποστάσεως χρόνου καὶ ψυχικοῦ πνεύματος καὶ πατρίδος. ἐὰν δὲ ἐν τῷ δευτέρῳ, περὶ βίου διαλήψεως καὶ γυναικὸς ἐπιπλοκῆς ἢ καὶ πραγμάτων νεκρικῶν καὶ δωροληψίας καὶ κοινωνίας καὶ διαθήκας· ἐὰν δὲ ἐν τῷ τρίτῳ, περὶ ἀδελφῶν ἢ φίλων ἢ ξένης ἢ γένους ἢ θηλειῶν θεῶν ἢ ὀνείρων ἢ θρησκείας, ἐσθ' ὅτε καὶ ἐξουσίας καὶ φυγῆς τινος· ὁ δὲ κύριος αὐτοῦ εἰ ἐναντιωθῇ, πρὸς φίλον ἔχθραν ἔχει, εἰ δὲ ἐν δισώμῳ ἐστίν, ἤδη γεγενημένην καὶ αὖθις ἐσομένην. ἐν δὲ τῷ τετάρτῳ, περὶ γῆς καὶ προυπαρχόντων τινῶν μυστικῶν καὶ θησαυρῶν, μάλιστα ἐὰν ᾖ βασιλικὸν τὸ ζῴδιον, ἢ κτήματος ἢ οἰκίας, καὶ περὶ γονέων καὶ θεμελίων καὶ τάφων καὶ ἀφανῶν τινῶν καὶ μεταβολῆς τόπου καὶ πόλεως καὶ πρεσβευτικῶν προσώπων καὶ οἰκείων. ἐν δὲ τῷ πέμπτῳ περὶ τέκνων καὶ χρημάτων καὶ ἀπελευθέρων ἢ γυναικὸς ἢ πόλεως ἢ εἰσποιήσεως ἀγαθοῦ τινος. ἐν δὲ τῷ ἕκτῳ, περὶ σίνους ἢ πάθους ἢ ξένου τινὸς ἢ δούλων, ἔσθ' ὅτε θηλειῶν, ἢ ζημίας ἢ ἀκροτηριασμοῦ τινος ἢ ἀδικίας ἢ τετραπόδων, καὶ διὰ θηλυκὰ πρόσωπα ἔχθρας καὶ ἐπιβουλὰς καὶ ἐπαναστάσεις. ἐν δὲ τῷ ἑβδόμῳ, περὶ γάμου ἢ θηλυκοῦ τινος προσώπου ἢ ἀφανοῦς τινος γινομένης βλάβης ἢ ἀσθενείας ἢ ἐκ-

---

8 A f. 97 ; a f. 99^{v} 12 *πόστω* aS, *ἐν τῷ πο(στω]* supra lin. script.) et in marg. *γρ. ποίω τόπω* A *τοῦ ὦ ὡροσκόπου.* leg. *τοῦ κύκλου* ? *εὕρῃς* a, *ευρ* AS 14 *χρόνων* A 16 in mg. A ; *βασιλικῶν προσώπων* 17 *διαθήκας* codd. cf. l. 23, 29 *φίλον* Aa, *φίλων* S 23 *κτήματα* codd. 25 *καὶ πρ. - οἰκείων* in marg. A, om. aS 26 *ἢ πόλεως* A, *καὶ π.* aS

τοπισμοῦ ἢ θανάτου ἢ ξενιτείας ἢ γυναικὸς ἐπιπλοκῆς. ἐν δὲ τῷ ὀγδόῳ περὶ θανάτου ἢ κληρονομίας ἢ νόσου ἢ ἀπραξίας ἢ μέμψεως ἀκαίρου ἢ ἀρχαίων ἢ νεκρικῶν πραγμάτων ἢ δηλητηρίου. ἐν δὲ τῷ ἐννάτῳ περὶ ξένης ἢ τελετῆς ἢ μυστικῶν ἢ ὀνείρων ἢ νόμων ἢ θεῶν ἢ ἐγκλήματος ἢ ἀστρονομίας, ἐσθ' ὅτε δὲ ἀρρένων. ἐν δὲ τῷ δεκάτῳ περὶ πράξεως ἢ ἀρχῆς ἢ δόξης ἢ ἀξίας καὶ φανερῶν πραγμάτων καὶ καινισμοῦ τινος ἢ τέκνων ἢ προκοπῆς ἢ γυναικός. ἐν δὲ τῷ ἑνδεκάτῳ περὶ φίλων ὑπαρχόντων καὶ συστάσεως καὶ δόξης, καὶ ἐν μὲν ἀρρενικῷ ζῳδίῳ πρὸς ἄνδρας, ἐν δὲ θηλυκῷ πρὸς γυναῖκας · σημαίνει δὲ καὶ περὶ τέκνων ἢ χρημάτων ἢ ἀπελευθέρων καὶ δωρεᾶς · ἐν δὲ τῷ δωδεκάτῳ περὶ φόβου ἢ κινδύνου καὶ ἀφῃρημένων πραγμάτων καὶ κλοπῆς καὶ ζημίας καὶ ἐχθρῶν καὶ δίκης καὶ δούλου καὶ ὑπηκόου καὶ ξένης καὶ ἀσθενείας ἢ τετραπόδων. ἐὰν δὲ ὁ κλῆρος τῆς Τύχης εἰς τὸ τρίτον ζῴδιον ἐμπέσῃ, ὁ δὲ κύριος αὐτοῦ ἐναντιωθῇ, πρὸς φίλον ἔχθραν ἕξει, ὁ δὲ κύριος τοῦ κλήρου τῆς Τύχης δηλώσει τὰ πρόσωπα · ὁ μὲν τοῦ Κρόνου σημαίνει πρεσβυτικούς, ὁ δὲ τοῦ Διὸς ἀξιωματικούς, ἀγαθούς, ὁ δὲ τοῦ Ἄρεως θρασεῖς, στρατιωτικούς ὁ δὲ τῆς Ἀφροδίτης χαρίεντας, μουσικοὺς ἢ θηλυκὰ πρόσωπα, ὁ δὲ τοῦ Ἑρμοῦ εὐπαιδεύτους ἢ πολυτρόπους ἢ ἐμπορικούς, ἡ δὲ Σελήνη προβεβηκότας ἢ θηλυκὰ <πρόσωπα>, ὁ δὲ Ἥλιος βασιλικούς, ἡγεμονικούς. συμπεριλαμβάνεται δὲ καὶ τὰ περὶ προσώπων Δ ω ρ ο θ έ ο υ.

---

3 *εὐκαίρου* codd., sed in marg. *γρ. ἀκαίρου* A 4 *δὲ* Aa, om. S. 10 *δὲ* om. a 13 *ξένης* S, *ξένου* a, *ξεν* A 15 *φιλ* A, *φιλίαν* aS 17 *πρεσβυτικούς* a, *πρεσβυτικὰ* A, *πρεσβοτικ* S 19 *χαρίεντας* a, *χαρίεντα* AS *μουσικοὺς ἢ* a, *μυσικὰ* AS *πρόσωπα* a, om. AS 20 *εὐπαιδεύτους* a, *εὐπαίδευτα* AS *πολυτρόπους ἢ* a, *πολύτροπα* AS *ἐμπορικοὺς* a, *ἐμπορικὰ* AS 21 *προβεβηκότας ἢ* a, *προβεβηκότα* AS *πρόσωπα* deest in codd. 22 *βασιλικοὺς, ἡγεμονικούς* a, *βασιλικά, ἡγεμονικά* AS *συμπεριλαμβάνεται* a, *συμπαραλαμβάνεται* AS

Excerpta e Theophilo aliisque astrologis de rebus praesertim bellicis.

Quae hic e codd. *Scorialensibus* duobus, *Angelico*, *Ambrosiano* in lucem prodeunt, ipse descripsi ; quae *Parisini* exhibent duo, chartis debeo Petri Boudreaux, qui aliquot capita Fr. Cumontii in usum descripsit et contulit : Cumontius haec omnia, summa cum humanitate, mecum communicavit.

Codicis *Parisini* suppl. gr. 1241 [1] is ordo est, qui in Theophilo [2] edendo summam habeat auctoritatem ; at in astrologorum Graecorum, qui in Hispaniae bibliothecis asservantur, catalogo potius duxi *Scorialensis* I. R. 14 ordinem sequi capitibusque, quae hoc in codice leguntur, ea addere quae in *Parisinis* exhibentur, et alia praeterea quae in Apomasaris libro suum obtinent locum. Non omnia dedi, quae his in libris de bello et de *catarchis* sunt, neque quae in lucem protuli, omnia Theophili esse patet. Sed cum alia nonnulla his de rebus in *Catalogo codd. astrol. graecorum* iam edita sint, hinc quid Theophili proprium sit, quae cum aliis auctoribus intercedant differentiae, iam adprime poterit patere ; et haec fortasse eum iuvabunt, qui Theophili editor futurus sit.

[F. 183] 1. *Πολὺς ὁ στρατὸς ἢ ὀλίγος.*

Λαβὼν ἀπὸ τῆς μοίρας τῆς Σελήνης ἕως τῆς τοῦ Ἑρμοῦ σκέψαι πόσα ζῴδια καὶ μοίρας συνάγουσι. κἂν μὲν ἄρτια ᾖ τὰ συνηγμένα, διπλασίασον ἅπερ ἤκουσας · εἰ δὲ περισσά, καθῶς ἤκουσας, ᾖ, αὐτοὺς λέγε. πρὸς δὲ τῇ ποσότητι τῶν ζῳδίων λέγε ἂν ὀλιγότερον τὸ πλῆθος ἢ πλείους.

A = Angel. 29. P = Paris. gr. 2056. S = Scorial. 1. R 14
p = Paris. suppl. 1241. a = Ambr. B. 38 sup. Φ = Scorial. 1. Φ. 5.

Cap. 1. S f. 183. — 4 ἤκουσας] fort. εὕρηκας 6 αὐτοὺς (et l. πλείους) sc. στρατιώτας ad synesin ; cf. στρατός in capitis titulo.

---

(1) Cf. *Cat.* VIII, 1, p. 117, cod. 13.
(2) De Theophilo, cf. *Cat.* V, p. 1, p. 129 ss., VIII, p. 1, p. 266 sqq.

2. Περὶ δόλου καὶ ἐνέδρας.

Κρόνου καὶ Σελήνης μαρτυρούντων τῷ ὡροσκόπῳ δόλον λέγε γεγενῆσθαι, ἢ ἐνέδραν λέγε τῷ στρατῷ. Διὸς μαρτυροῦντος Σελήνῃ καὶ τῷ ὡροσκόπῳ μὴ εἶναι δόλον μηδὲ ἐνέδραν λέγε. Ἄρεως μαρτυροῦντος τῇ Σελήνῃ ἐν τῇ πολεμικῇ καταρχῇ ἀνατροπὴν καὶ στάσιν γενήσεσθαι λέγε. Ἀφροδίτη μαρτυροῦσα τῇ Σελήνῃ καὶ τῷ ὡροσκόπῳ, μὴ εἶναι δόλον λέγε. Ἑρμῆς ἐπιβλέπων τὸν ὡροσκόπον καὶ τὴν Σελήνην· δόλον καὶ πανουργίαν λέγε. ἡ Σελήνη ἀσύνδετος οὖσα τῷ Ἄρει ἐν ταῖς πολεμικαῖς καταρχαῖς ποιεῖ τοὺς στρατιώτας δειλούς, ἀτόλμους, ἀδρανεῖς καὶ πρὸς τοὺς στρατηγοὺς ἀνυπηκόους. Ἄρης δορυφορῶν τὸν Ἥλιον ἐπανδροτέρους καὶ φοβερωτέρους τοὺς στρατηγοὺς καθίστησι, τοὺς δὲ στρατιώτας παραβολωτέρους καὶ ἐπιτευκτικωτέρους. Ἄρης ὡροσκοπῶν θερμούς, παραβόλους καὶ τολμηροὺς ποιεῖ τοὺς ἐπιστρατευομένους.

3. Περὶ πολέμου.

Ὅταν πυνθάνηταί τίς σου περὶ δύο στρατοπέδων ἐὰν ἐκίνησαν ἐκ τοῦ τόπου, οὗ ἦσαν, σκέψαι οὕτως. ἐὰν ὁ κύριος τοῦ ὡροσκόπου καὶ τῆς Σελήνης ἀποκεκλίκασι πάντας ἢ πλείους, λέγε τοὺς ἐπιστρατευομένους μετακεκινηκέναι ἐκ τόπου εἰς τόπον. εἰ δὲ καὶ τοὺς ἀνθωροσκοποῦντας οἱ κύριοι ἅμα τῆς Σελήνης ἀποκεκλίκασι, τοὺς ἐπιστρατευομένους λέγε κεκινηκέναι ἐκ τόπου εἰς τόπον [κινοῦσιν].

Βλέπε τοὺς κυρίους τοῦ ὡροσκόπου καὶ τοὺς ἀνθωροσκοποῦντας,

Cap. 2. S. f. 183, p. f. 18. — 3 fort. *γενήσεσθαι* ut l. 6. 4 *τῆς Σελήνης* p *μὴ εἶναι*]*μὴ ἦ* S *μηδὲ* S, *οὐδὲ* p 5 *τῆς Σελήνης* Sp 6 *στάσιν*] *τάσιν* p, *ταις* (*αις* supra lin. scrip.) S, ubi litterae *αις* non perspicuae sunt *γεγενῆσθαι* p 8 *μὴ εἶναι*] *μὴ ἦ* S (fort. *πανουργίαν εἶναι λέγε*) *λέγε δόλον καὶ πανουργίαν* p, unde Boud. *λέγε δ. κ. π.* <*εἶναι*> 11 *δηλοὺς* S Cum hoc capite cf. cap. 7

Cap. 3. S f. 183. — 18 *Ὅταν πυνθάνοντός σου* S 20 *ἀποκεκλήκασι* S, et l. 22 20 *παν* (*τ* supra *γ* script.) *ἢ οἱ πλείους* S 21 *ἐκ τοῦ τόπου* S, et l. 23 23 *κινοῦσιν* seclusi, cum antecedat *κεκινηκέναι*

ὅταν ὦσιν ἐπὶ τοῖς κέντροις ἢ ἐπὶ τῶν ἐπαναφορῶν, καὶ πῶς ἔχωσι θέσεως πρὸς τὸν κοσμικόν. ἑῷοι γὰρ ὄντες <πάντες> ἢ οἱ πλείους αὐτῶν · ταχεῖαν τὴν κίνησιν λέγε αὐτοὺς ποιεῖσθαι. διὰ πόσου δὲ χρόνου, ἴδε αὐτῶν τὰς ἀπὸ τόπου εἰς τόπον μεταβάσεις μετὰ τῆς τῶν φώτων συσχηματίσεως, καὶ διὰ πόσου χρόνου τοῦτο ποιοῦσιν, καὶ διὰ τοσούτων ἡμερῶν λέγε αὐτοὺς ποιῆσαι τὴν κίνησιν. εἰ δὲ καὶ ἑσπέριοι ὄντες ἢ στηριγμὸν ποιοῦντες, βραδεῖαν τὴν κίνησιν λέγε καὶ τὴν αὐτῶν μετακίνησιν καὶ σχηματογραφίαν.

4. Περὶ τῶν πολιορκουμένων πόλεων.

Περὶ δὲ τῶν πολιορκουμένων πόλεων ἐπιτηρητέον τὴν Σελήνην ἐν ποίῳ ζῳδίῳ τυγχάνει ἐν τῇ τῆς πολιορκίας ὥρᾳ, κἂν μὲν ἐν Κριῷ τύχῃ, τῶν καλοποιῶν αὐτῇ μαρτυρούντων · ταχεῖαν ἀναχώρησιν καὶ τῶν πολιορκούντων λέγε καὶ λύσιν ἀβλαβεστάτην τῶν πολιορκουμένων. ἐν δὲ Ταύρῳ ἐπὶ πολὺν χρόνον ἔσται ἡ πολιορκία. ἐν Διδύμοις μετὰ τῆς τῶν καλοποιῶν μαρτυρίας ἄπρακτον ἀναχώρησιν τῶν πολιορκούντων σημαίνει. ἐν Καρκίνῳ μετὰ τρεῖς ἡμέρας ἀναχώρησιν τῶν ἐχθρῶν σημαίνει. Ἐν Λέοντι ἐπίμονον τὴν πολιορκίαν καὶ πόλεμον. ἐν Παρθένῳ, τῶν κακοποιῶν μαρτυρούντων, δόλον ἔσεσθαι σημαίνει τοῖς πολιορκουμένοις. ἐν Ζυγῷ ἀναχώρησιν ταχεῖαν τῶν πολιορκούντων. ἐν Σκορπίῳ ἐπιμονὴν καὶ πόλεμον καὶ αἰχμαλωσίαν. ἐν Τοξότῃ ὑποσπόνδους ἐξέρχεσθαι τοὺς πολιορκουμένους. ἐν Αἰγοκέρῳ λιμὸν καὶ θάνατον σημαίνει τῇ πόλει · τοῦ δὲ Ἄρεως συσχηματιζομένου, καὶ πολλὴν αἱμάτων χύσιν προστίθησιν. ἐν Ὑδροχόῳ ἐπίμονον τὴν πολιορκίαν καὶ μοχθηρὰν καὶ ἐπώδυνον σημαίνει. ἐν Ἰχθῦσι ἀτέλεστον τὴν πολιορκίαν καὶ τὸν πόλεμον ἔσεσθαι σημαίνει.

---

1 ἔχουσι S 2 πάντες addidi. 5 συσχηματήσεως S Cap. 4. P f. 109 ; S f. 183ᵛ Ἄλλως τοῦ αὐτοῦ <scil. Θεοφίλου> περὶ τῶν πολιορκουμένων πόλεων P 10 δὲ om. P 12 αὐτοῦ P 13 ἀβλαβῆ P 14 ἐν δὲ Ταύρῳ P, ἐν δὲ p, ἐάν τε S 20 τοῖς π. σημαίνει P ἀναχ. τ. πολ. ταχεῖαν P 22 αἰχμάλωτον P 24 σχηματιζομένου p 25 καὶ τίθησιν S 26 μοχθηρίαν codd., corr. Ἰχθύω p 27 ἔσεσθαι om. p

5. *Πρὸς τὸ πολιορκεῖσθαι πόλιν.*

Ἔστω ἡ Σελήνη λειψιφωτοῦσα, καταβαίνουσα νότον, ὑπὸ τῶν καλοποιῶν θεωρουμένη καθ' οἷον δήποτε σχῆμα ἢ μετ' αὐτῆς ὄντων. ὡσαύτως δὲ Ἄρης αὐτὴν <τρι>γωνιζέτω ἐπὶ θηλυκῶν ζῳδίων ἑστώς, οἱ δ' αὐτοὶ ἀστέρες καὶ τὸν ὡροσκόπον ἐπιβλεπέτωσαν. καὶ ὡροσκοπείτω τὰ ὀρθὰ ζῴδια καὶ μὴ τὰ πλάγια. οὕτως γὰρ ἄνευ πολλοῦ μόγου ληφθήσεται ἡ πολιορκουμένη πόλις.

Ἄλλως. Σκέπτου τὴν Σελήνην καταβαίνουσαν τὰ νότια καὶ ὑπὸ Ἄρεως θεωρουμένη<ν> καὶ μὴ ὑπὸ Κρόνου, καὶ μᾶλλον τῷ Ἄρει συνάπτουσα<ν>· εἰ γὰρ τῷ Κρόνῳ, δι' ἡμέρας. Ἄρης ὀξυπραγίαν σημαίνει, ὁ δὲ Κρόνος βραδύτητα.

6. *Περὶ πολιορκουμένων πόλεων.*

Βλέπε τὸν ὡροσκόπον καὶ τὸν δεύτερον τόπον ἀπὸ τοῦ ὡροσκόπου καὶ τοὺς τούτων κυρίους, πῶς ἔχωσι θέσεως, καὶ τοὺς ἐπιμαρτυροῦντας ἀστέρας. καλοποιῶν μὲν γὰρ μαρτυρούντων τούτοις τοῖς τόποις ἢ τοῖς κυρίοις αὐτῶν, ἤτοι καλῶς κειμένων, ταχεῖαν ἄλωσιν τῆς πόλεως λέγομεν. Σελήνη μειουμένη τῷ φωτὶ ταχεῖαν λύσιν τῆς πολιορκίας ποιεῖ, [καὶ] αὐξουμένη δὲ ἐπιτείνει τὸν πόλεμον. Σελήνη σύνδεσμον λύουσα δυσάλωτον σημαίνει τὴν πόλιν. Σελήνη ὕπαυγος τῇ Ἀφροδίτῃ συνάπτουσα, δυτικῇ ἢ καὶ ἑσπερίᾳ· ταχεῖαν σῶσιν τῆς πόλεως λέγε. Σελήνη ἐν τοῖς ἀπὸ μεσουρανήματος ζῳδίοις ἐπὶ τοῦ δύνοντος ἑστῶσα,καὶ τῇ Ἀφροδίτῃ σὺν τῷ Ἑρμῇ συνάπτουσα, λύσιν τῆς πολιορκίας σημαίνει. Σελήνη ὑπὸ Διὸς καὶ Κρόνου τριγωνιζομένη· ὑπὸ σπονδίλων διαλύεσθαι τινὰ πολιορκίαν λέγε, οὐ ταχέως δέ. Σελήνη ἐν τοῖς ἀπὸ μεσουρανήματος ἐπὶ τὸ δυτικὸν ζῴδιον ἰοῦσα, ἃ δὴ κατάγοντα καλοῦσιν, καὶ ἐφορῶν αὐτῆς Ἄρης, ἄλωσιν τῆς πόλεως ταχεῖαν εἶναι σημαίνει. κατάγοντα μὲν [ἄν] εἰσὶ ζῴδια τὰ ἀπὸ μεσουρανήματος ἐπὶ τὸ δῦνον καὶ τὸ ὑπόγειον, ἀνάγοντα δὲ τὰ ἀπὸ μεσουρανήματος

Cap. 5. S f. 184. 5 *γωνιζέτω* codd. 8 *λειφθήσεσθαι* S 10 *θεωρουμένη* S 11 *συνάπτουσα ἢ γὰρ* S.

Cap. 6. S f. 184. — 17 *κείμενοι* S 21 *δυττικὴ ἢ καὶ ἑσπερία* S) 24 *σὺν τοῦ* S 27 *δυττικὸν* S *οὖσα* S 29 *ὃ σημαίνει* S *ἄν* seclusi

ἐπὶ τὸν ὡροσκόπον καὶ τὸ ὑπόγειον. ἐν τοῖς κατάγουσι ζῳδίοις οὖσα ἡ Σελήνη καὶ ὑπὸ Ἄρεως διαμηκιζομένη ἢ τετραγωνιζομένη · ταχεῖαν ἅλωσιν τῆς πόλεως λέγε. ἐν τοῖς κατάγουσι ζῳδίοις οὖσαν τὴν Σελήνην Ζεὺς ἐπιβλέπων ἀναχώρησιν τῶν πολιορκουμένων σημαίνει. Κρόνου μετὰ τῆς Σελήνης ὄντος ἐν τοῖς κατάγουσι ζῳδίοις, καὶ τοῦ Διὸς τούτου ἐπιδεκατεύοντος · τὰ αὐτὰ σημαίνει. Ἄρης τὴν Σελήνην τετραγωνίζων, τοῦ Κρόνου δύνοντος, ἐπὶ πολὺν χρόνον ἐπιτείνουσι τὴν πολιορκίαν. Ἄρης τὴν Σελήνην τριγωνίζων, τοῦ Κρόνου τετραγωνίζοντος, τὰ αὐτὰ ποιεῖ, πλὴν σημαίνει <ὅτι οἱ> ἐντὸς τῆς πόλεως φυγῇ χρώμενοι τῆς πολιορκίας ἀπαλλάσσονται. δεῖ οὖν ἡμᾶς καὶ τὸ ὑπόγειον ζῴδιον σκέπτεσθαι · δι' ἡμέρας ἡ ἀπόβασις τούτου αἴρεται. καὶ καλοποιοὶ μὲν ἐφορῶντες αὐτοῦ, ἀναχώρησιν τῶν πολιορκουμένων λέγουσι, κακοποιοὶ δέ, ἅλωσιν.

7. *Περὶ λόχου καὶ δόλου καὶ ἐνέδρας*

Ἐάν τις λόχον ἢ ἐνέδραν ἢ δόλον ἐθέλει τρακταίνεσθαι κατὰ τῶν πολεμίων, ἔστω ἡ Σελήνη Ὑδροχόῳ ἢ Ταύρῳ ἢ Λέοντι ἢ Ἰχθύσι ἢ Τοξότῃ λειψιφωτοῦσα ἢ ὕπαυγος οὖσα καὶ τοῖς ἀριθμοῖς ἀφαιροῦσα, καὶ Ζεὺς Ἀφροδίτη Ἑρμῆς μαρτυροῦντες αὐτῇ ἢ συνόντες, ἢ τούτοις συνάπτουσα, ἢ καὶ τῷ ὡροσκόπῳ μαρτυροῦντες · οὕτως ἐπιτεύξεται δόλου καὶ μηχανῆς ὁ ἐνεχόμενος.

Ἄλλως. Ἔστω ὁ Ἑρμῆς σὺν τῇ Σελήνῃ, φησὶν ὁ Θεόφιλος, ἀνατολικὸς καὶ ἀκάκωτος καὶ εὐθυπορῶν. ὡσαύτως καὶ ὁ κύριος τοῦ ὡροσκόπου φάσιν ἑῷαν ποιείτω, ἢ ἐν ἰδίᾳ λαμπήνῃ ὑπαρχέτω, τῶν κακοποιῶν ἀποστρόφων ὄντων, τοῦ τε ὡροσκόπου καὶ τῆς Σελήνης προσνευόντων τε καὶ ἀκτινοβολούντων ἐπὶ τοὺς τοῦ ζῳδίου κυρίους.

Ἄλλως. Ἔστω ἡ Σελήνη ἐπὶ τοῦ ὡροσκόπου ἢ ἐν τοῖς τριγώνοις αὐτοῦ, καὶ ὁ οἰκοδεσπότης αὐτῆς σὺν αὐτῷ [ἢ], τοῦ ὡροσκό-

---

1 *κατάγωσι* S 2 *διαμηκιζομένη*] *διαμυκιζομένη* codd. 5 *μετὰ τὴν Σελήνην ὄντως* S 9 *ὅτι οἱ* addidi 12 *ἤρεται* S 13 *λέγει* S (fortasse *λέγουσι* si in antigrapho erat *λέ* cum *γ* supra *έ* script).

Cap. 7 S. f. 184, P f. 110^{v} (ll. 7-10 tantum). 16 *πολέμων* S, 17 *λειψηφωτοῦσα* S 20 *οὕτος* S 21 *ιφησὶν ὁ Θεόφιλος* in p tantum 23 *ποιεῖτο* S *λαμπεδόν* p 24 *δὲ καὶ* S, *δὲ ἢ* p 25 *ἀκτινοβολούντων* in p tantum 28 *ἢ* seclusi ; fort. *ἢ τῷ ὡροσκόπῳ εὐθυποροῦντι ἢ τῷ ὡ. κ.*

που εὐθυποροῦντος, ἢ τῷ ὡροσκόπου κυρίῳ συναπτέτω ἡ Σελήνη ἐπὶ τὸ ἑαυτῆς ὕψωμα ἐρχομένη ἢ τὸν οἶκον αὐτῆς, ἢ ὁ Ἑρμῆς σὺν τῇ Διὶ ἔστω. τοῦτο οὖν συμβάλλεται καὶ νυκτομαχίαν καὶ αἰφνίδιον ἐπιρριφήν.

8. *Περὶ στρατείας.*

Ὅταν τις πυνθάνεταί σου περὶ στρατείας, ἐπιστρατεύειν ἢ οὔ, σκέπτου οὕτως. ὁ τῆς ἐπιστρατείας κλῆρος ἔστω σοι ἀπὸ Κρόνου ἐπὶ τὴν Σελήνην, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου.ἐὰν ὁ κλῆρος εἰς Σκόρπιον ἢ Κρίον, εἰς Αἰγόκερων ἢ Ὑδροχόον πέσῃ, ἐπιστρατεύεται. Ἄρης δι' ὡροσκόπου ἀνατολικὸς καὶ ἐφορῶν τοὺς φωστῆρας ἐπιστρατείαν σημαίνει. ὁ κλῆρος τῆς ἐπιστρατείας ἢ ὁ Ἄρης ἐν Κριῷ ἢ Ταύρῳ, ἐν Λέοντι ἢ Τοξότῃ πεσὼν ἐν ἱππεῦσιν ἔσεσθαι σημαίνει τὴν ἐπιστρατείαν. ὁ κλῆρος τῆς ἐπιστρατείας ἢ ὁ Ἄρης ἐν Καρκίνῳ ἢ Τοξότῃ, ἐν Σκορπίῳ ἢ Ὑδροχόῳ ὑπάρχων διὰ θαλάσσης ἢ μεγάλων ποταμῶν† ἐωκ ἄφεσις † ποιεῖ τὴν ἐπιστρατείαν.ὁ κλῆρος τῆς ἐπιστρατείας,καὶ ὁ Ἄρης ἢ <οἱ> τούτων οἰκοδεσπόται μαρτυρούμενοι ὑπὸ καλοποιῶν, καλὰς τὰς ἐπιστρατείας σημαίνει, ὑπὸ δὲ κακοποιῶν κακάς. ἔνδοξοι δὲ ἐπιστρατεῖαι γίνονται, ὅταν Ζεὺς καὶ Ἄρης ἀλλήλοις συσχηματισθῶσι, καὶ μάλιστα ἐπίκεντροι ὄντες.

9. *Καταρχὴ πολέμου.*

Ὅταν τις εἰς πόλεμον ἐξέλθῃ, ὡροσκοπείτωσαν οἱ τοῦ Ἄρεως οἶκοι, καὶ ἐχέτωσαν τὸν Δία καὶ τὸν Ἄρεα μεσουρανοῦντας ἢ ἀλλήλων τοὺς τόπους ἀλλάσσοντας καὶ συσχηματιζομένους πρὸς ἀλλήλους καὶ πρὸς τὸν κλῆρον τῆς Τύχης. καλῶς δὲ χρηματιζόντων αὐτῶν καὶ τὰ ζῴδια ἐφ' οἷς βεβήκασι, τὰ περὶ τῆς στρατείας καὶ τοῦ πολέμου καλὰ καὶ ἐπίδοξα καὶ νίκης ἀποτελεστικὰ τυγχάνουσιν. οὕτως ποιοῦ καὶ πραγματεύων ἐπὶ τῶν ἐφόδων τῶν στρατηγῶν καὶ τῶν στρατοπέδων, καὶ οὐ πταίσεις τότε.

Cap. 8. S f. 185. 16 *οἱ* addidi

Cap. 9, S f. 185. 24 *ἀλλήλοις* S 26 *ἐκ τοῦ πολέμου*S

10. *Περὶ πόλεως ἠρημωμένης.*

Ἐὰν ἐρωτηθῇς περὶ πόλεως ἠρημωμένης ἢ τόπου, ἀνακτίζεται ἢ οὔ, κατοικεῖται ἢ οὐ κατοικεῖται, καὶ ὑπό τινος οἰκοδομεῖται· ἐκ τοῦ ὡροσκόπου ληπτέον καὶ τὴν πόλιν καὶ τὸ διάθεμα αὐτῆς ἢ τὸν τόπον, ἐκ δὲ τοῦ δύνοντος κέντρου τὸν οἰκοδόμον, καὶ ἐκ τοῦ μεσουρανοῦντος αὐτὴν τὴν οἰκοδομήν, ἤτοι οἰκοδομεῖται ἢ οὐκ οἰκοδομεῖται, ἐκ τοῦ ὑπὸ γῆν τὴν ἔκβασιν τῶν πραγμάτων καὶ τὸ συμπέρασμα τῆς διορθώσεως αὐτῆς. κακοποιὸς ἐπὼν τῷ ὡροσκόπῳ ἢ διαμετρῶν αὐτὸν ἢ τετραγωνίζων ἔρημον τὸν τόπον σημαίνει. ὁ καταβιβάζων ὡροσκοπῶν τὸ αὐτὸ σημαίνει. οἱ τριγωνοδεσπόται τοῦ ὡροσκόπου ὕπαυγοι ὄντες ἢ κακὴν θέσιν ἔχοντες, ἀοίκητον σημαίνουσι τὸν τόπον. ἡ Σελήνη κενοδρομοῦσα ἢ κακοτυχοῦσα καὶ ὑπὸ τῶν κακοποιῶν καθυπερτερουμένη τὸν τόπον ἠρημωμένον σημαίνει. κακοποιὸς ἐπὼν τῷ μεσουρανήματι οὐ δηλοῖ τὴν τῆς πόλεως δόμησιν. οἱ τριγωνοδεσπόται τοῦ μεσουρανήματος κακὴν ἔχοντες θέσιν ἢ ὑπὸ τῶν κακοποιῶν βλαπτόμενοι τὸ αὐτὸ δηλοῦσι. καλοποιὸς ἐπὼν τῷ μεσουρανήματι, καὶ τῶν τριγωνοδεσποτῶν καλὴν θέσιν ἐχόντων, οἰκοδομὴν σημαίνουσι. εἰ δὲ καὶ ἀνατολικὴν φάσιν ποιοῦνται, ταχεῖαν τὴν οἰκοδομὴν ἔσεσθαι δηλοῦσιν. τὰ φῶτα καλὴν ἔχοντα θέσιν καὶ συσχηματιζόμενα τοῖς ἀγαθοποιοῖς καὶ τῷ

Cap. 10 S. f. 185 et 205ᵛ ; *Φ*, f. 380. Titulus deest in S, f. 185. 2-3 *Ἐὰν ἐρωτηθῇς* usque ad *ὑπό τινος οἰκοδομεῖται* in *Φ* tituli vice funguntur ; *ἐρωτηθεὶς* S 3 *κατοικεῖται* om. S f.185. 4 *Ἐκ μὲν Φ. μὲν γὰρ ληπτέον* S f. 205ᵛ, *ληπτεύων* S f. 185ᵛ *καὶ*] alterum *καὶ* om. S *δίθεμα* S f. 205ᵛ 5 *καὶ ἐκ τοῦ* S *κέντρου* om. S a *οἰκοδομοῦντα* S 7 *ἐκ τοῦ ὑπὸ γῆν Φ, τὸ ὑπόγειον* S f. 205ᵛ, *τὸ ὑπὸ* S f. 195ᵛ 8 *ἐπὼν* om. S f. 2905ᵛ 9 *διαμετρῶν* et *τετραγωνίζων* per symbola *αὐτὸν* S f. 165ᵛ, *αὐτῷ* S f. 205ᵛ, *αὐτῶν Φ* *τὸν* om. S f. 185ᵛ 10 *ὁ* om. S f. 185ᵛ *τριγωνικοὶ Φ, τρίγωνοι* S f. 205ᵛ ; symbola exhibet S, f. 165ᵛ ; cf. l. 15 et 17. 11 *ἀρίκητον* S. 205ᵛ 12 *τὸν* om. *Φ* *κακοδρομοῦσα Φ, κακοδαιμονοῦσα* S *τὸν* addit a 14 *ἐπὼν* Saf. 205ᵛ 15 *τρίγωνοι δεσπόται* S f. 205ᵛ, symbola et *δεσπόται* S. f. 185ᵛ 16 *ἔχοντες μέσην* S f. 205ᵛ *βλαπτομένη* Sa f. 185ᵛ, *Φ* 17 *κακοποιός Φ* *ἐπὼν* S. f. 205ᵛ, *Φ ἔπων* S. f. 185ᵛ, *τῷ μάρτυρι Φ* *τριγωνικῶν δεσποτῶν Φ, τριγώνων δεσποτῶν* S f. 205ᵛ et f. 185ᵛ, per symbola S, f. 185ᵛ, *Φ* 18 *σημαίνουσινσημαίνει Φ* 22 *ποιοῦντες* S. f. 185ᵛ *ἔσεσθαι ποιοῦσιν* S f. 205ᵛ S 20 *ἔχουσι* S f. 205ᵛ *συσχηματιζόμενοι Φ*

μεσουρανήματι οἰκοδομὴν δηλοῦσι. καλοποιοὶ ἐπόντες ἢ ἐπιθεωροῦντες τῷ δυτικῷ κέντρῳ μετ' εἰρήνης καὶ ἀδείας οἰκοδομεῖν τὸν οἰκοδομοῦντα σημαίνει. κακοποιοὶ δὲ τοὐναντίον, ἤγουν μετὰ πολέμου καὶ κακοπαθείας καὶ φόβου. τὸ δῦνον ζῴδιον λόγον ἔχον πρὸς τὸν ὡροσκόπον οὐκ ἀλλόφυλον τὸν κτίστην σημαίνει, μὴ ἔχον δὲ λόγον, ἀλλόφυλον καὶ ἀλλότριον. τὸ ὑπόγειον κακούμενον κακὴν τὴν ἔκβασιν τῆς οἰκοδομῆς σημαίνει, ὑπὸ καλοποιῶν δὲ σεμνυνόμενον καλὴν καὶ εὔθετον τὴν ἔκβασιν σημαίνει. χρὴ δ' ἡμᾶς σκοπεῖν καὶ τὸν κλῆρον τῆς Τύχης καὶ τῆς οἰκοδομῆς· καὶ ἂν καλὴν θέσιν ἔχωσιν οὗτοι οἱ κλῆροι καὶ οἱ κύριοι αὐτῶν, εὐτυχῆ καὶ ἐπωφελῆ λέγομεν εἶναι τὴν οἰκοδομήν. εἰ δὲ κακῶς κεῖνται αὐτοὶ καὶ οἱ κλῆροι, καὶ ὑπὸ κακοποιῶν μαρτυροῦνται, ἐπὶ κακῷ τὴν οἰκοδομὴν λέγομεν, ἢ καὶ ὅλως μὴ οἰκοδομεῖσθαι. τούτων οὖν τὴν ἐπίσκεψιν ποιούμενοι καὶ τὴν σύγκρασιν, ἀποφαινόμεθα τὸ ἐνδεχόμενον. κλῆρὸς δὲ οἰκοδομῆς λαμβάνεται ἀπὸ τοῦ οἰκοδεσπότου τοῦ ὑπογείου ἐπὶ τὸν τοῦ μεσουρανήματος οἰκοδεσπότην καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. τὸν χρόνον δὲ τῆς οἰκοδομῆς, ἤτοι πότε οἰκοδομεῖται, λαμβάνομεν ἐκ τῶν κυριωτέρων τόπων τῆς καταρχῆς καὶ τῶν ἐπόντων αὐτοῖν ἀστέρων, ἤγουν ἐκ τῆς τῶν σχημάτων αὐτῶν ἐναλλαγῆς ἢ τοῦ περιπάτου αὐτῶν πρός τε τὰς φάσεις αὐτῶν καὶ τὰς κολλήσεις καὶ τὰς συναφάς.

---

1 *ἐπόντες* S f. 215^{v}, *Φ θεωροῦντες* S. f. 185^{v} 2 *τῷ δυτικῷ κέντρῳ Φ*, *τὸ δῦνον* per symbolum S. f. 185^{v}, om. S. f. 205^{v}, *τὸ δυτικόν* a 3 *δηλοῖ* S f. 206^{v}. 4 *δύνον Φ*, *Ἑρμοῦ* per symbolum S. f. 185^{v}, om. S. f. 206. 5 *ἔχων* S. f. 185^{v}; *μηδὲν δὲ ἔχον λόγον* S. f. 206 7 *τὴν* om. S. f. 206 *κακοποιῶν Φ* *τ. ἔκβασιν ποιεῖ Φ* a 9 *ἡμῖν* S. f. 206 *ἔχουσιν* S. f. 186 *οὗτοι* om S. f. 186 7 *καὶ οἱ κλῆροι* om. S. f. 186 14 *τούτου οὖν* S, f. 206 9 *σύγκρισιν* S. f. 206 15 *ἀποφαινούμεθα* a *κλῆρος δὲ* S. f. 206, *Φ*: *καὶ δι'* S *λαμβάνεται* S. f. 186, *Φ* *λέγομεν* S. f. 206 16 *ὑπογείου* S. f. 206 et *Φ*, *περιπάτου* S. f. 186 *τὸν* om. S. f. 206 17 *τοῦ* om. S. f. 186 *οἰκοδεσπότου* S. f. 206 18 *ἤτοι* om. S. f. 206 *τὸ πότε* S. f. 186 19 *αὐτῶ Φ αὐτῶν* cett. 20 *χρημάτων* S. f. 186 *ἢ τοῦ* S; *ἤτοι Φ* 21 *κωλύσεις* S *συμφοράς* S. f. 186.

11. *Ἐὰν ἐρωτηθῇς περὶ πόλεως, πολιορκεῖται ἢ οὔ, καί, ἐὰν πολιορκεῖται, σώζεται ἢ παραλαμβάνεται.*

Ἔστω ὁ ὡροσκόπος ἡ πόλις, φησὶν ὁ Θεόφιλος· κακοποιὸς ἐπὼν τῷ ὡροσκόπῳ πεπολιορκημένην λέγει τὴν πόλιν, ἐπὼν δὲ τῇ προαναφορᾷ τοῦ ὡροσκόπου ἀπαλλάττεσθαι αὐτὴν τῆς ποιλιορκίας λέγει. ἐπαναφερόμενος δὲ τῷ ὡροσκόπῳ οὔποτε πεπολιορκῆσθαι αὐτὴν σημαίνει, ἀλλὰ μέλλειν πολιορκηθῆναι. καλοποιὸς ἐπὼν τῷ μεσουρανήματι μὴ ἁλῶναι τὴν πόλιν σημαίνει, ἀλλὰ σώζεσθαι αὐτήν. κακοποιὸς δὲ ἐπὼν τῷ μεσουρανήματι, ἁλῶναι τὴν πόλιν σημαίνει. καλοποιοῦ δ' ἐπαναφερομένου τῷ μεσουρανήματι, κακοποιοῦ μεσουρανοῦντος, λέγε τὴν πόλιν ἐπὶ συνθήκαῖς καὶ σπονδὰς ἐξεληλυθέναι, κακοποιοῦ δὲ ἐπαναφερομένου καλοποιῷ μεσουρανοῦντι λέγε ζῶντας μὲν ληφθῆναι, ἔπὶ δουλείᾳ δέ. ὡσαύτως καὶ κακοποιοῦ ἀποκλίναντος τοῦ μεσουρανήματος, κεκεντρωμένου δὲ κακοποιοῦ, αἰχμάλωτον ἤδη καὶ ἐζωγρημένην λέγε τὴν πόλιν, ὁμοίως δὲ πρὸς τὴν τῶν λεχθέντων δύσιν. καὶ αἱ τῆς Σελήνης ἀπόρροιαι καὶ συναφαὶ καὶ κολλήσεις καὶ ἐμπερισχέσεις σημαίνουσι. καὶ

Cap. 11. S, f. 186 et 205, *Φ*, f. 380ᵛ ; P, f. 110. In *Φ* titulus est : *Περὶ πόλεως εἰ πολιορκεῖται* ; cetera *ἐὰν - παραλαμβάνεται* in textum recepta sunt. 1 *ἐρωτηθεὶς* S *εἰ πολιορκεῖται Φ* 2 *ἐὰν* om. S. f. 205, *καὶ ἄν* S. f. 186 et *Φ* *πολιορκῆται Φ*, *πολιορκηθῆ* p 3 *παραλαμβάνεται* p non exhibet, ubi *σώζεται ἢ οὔ*. 4 *ὁ* om. S *φησὶν ὁ Θεόφιλος* p tantum exhibet 5 *ἔπων* S. f. 205, *ἐπὼν* p S f. 186a ; *Φ* accentum ponit tum in prima, tum in secunda syllaba. Haec, in hoc verbo, codicum ratio est et alibi. 6 *ἀναφορᾶ* p 7 *ἐπαναφερομένω* S *οὔποτε* S, *οὐ Φ* a, *οὔπω* p *πεπολιορκεῖσθαι* S *Φ*, *πολιορκεῖται* p 8-10 *ἀλλὰ - σώζεσθαι αὐτήν* om. S f. 205 *μέλλει* codd. 8-9 *κακοποιός- σημαίνει* om. p 10 *καλοποιὸς* et *ου* litteris *ος* impositum *Φ* 11 *ἐπάν. μεσουρανήματι* p, *ἐπαν. καλοποιῶ μεσουρανοῦντι* S, *καλοποιῶ τῷ μεσουρανήματι Φ* *κακοποιοῦ μεσουρανοῦντος* unus exhibet *Φ* 12 *λέγει Φ* *ἐπὶ συνθήκαις* p, *ἐπὶ συνθήκην Φ*, *ἐπισυνθέναι* S f. 205 *σπονδαῖς* p 13 *ἐξελθῆ* p prima manu *κακοποιὸς Φ* *μεσουρανοῦντι* S, *τῷ μεσουρανήματι Φ* ; in p non est *καλοποιῷ λέγει Φ* *κακοποιὸς Φ* 15 *καλοποιοῦ* Sp 16 *ἐζωγραμένην* S, f. 186 17 *ὁμοίως* ceteri, *οὐ ῥᾳδίως* S, f. 205 *πρὸς* ceteri, *καὶ* p *δύσιν Γ* per compendium *Φ*, *δύναμιν* ceteri 18 *κωλύσεις* S, f. 186ᵛ, *κλίσεις* f. cett.

ἡ τριταῖα αὐτῆς καὶ ἑβδομαῖα καὶ τεσσαρακοσταῖα (1), ἀλλὰ καὶ ὁ τῆς Τύχης κλῆρος οὕτως συννοούμενος τὰ αὐτὰ σημαίνει. τὸ δῦς νον κέντρον ἔχον καλοποιὸν ἡμερωτέρους τοὺς πολεμίους καθίστησιν, ἔχον δὲ κακοποιόν, ἀγριωτέρους καὶ ἀνημέρους. τὸ ὑπόγειον ἔχον καλοποιὸν ἢ ὑπὸ καλοποιοῦ μαρτυρούμενον, εὔχρηστον τέλος ἔχειν τὴν τῆς πόλεως ἔκβασιν σημαίνει · κακοποιὸν δέ, τοὐναντίον.

12. Καταρχὴ πολεμικὴ ἐξ ἧς γνωρίζεται πᾶσα ἡ τοῦ πολέμου καταρχὴ καὶ ἀναστροφή.

Ἐκ τοῦ ὡροσκόπου, φησὶν ὁ Θεόφιλος, γνωρίζεται ἡ τοῦ πολέμου ἀρχὴ καὶ αἰτία καὶ πᾶσα ἡ ἐνεστῶσα ἔφοδος, ἤτοι τῶν ἐπιστρατευομένων ἢ ἀντιστρατευομένων. καὶ ταῦτα μὲν ἐκ τῆς θέσεως τῶν τριγωνικῶν αὐτοῦ δεσποτῶν, καὶ μὴν καὶ τῶν ἑπόντων καὶ μαρτυρούντων ἀστέρων καὶ ἐκ τῆς αὐτῶν δυνάμεως. ἐκ τῆς ἀναφορᾶς τοῦ ὡροσκόπου, ἐὰν μέλλῃ γενέσθαι πόλεμος ἢ μὴ γενέσθαι, καὶ εἰ ἐπὶ καλῷ καὶ συμφέροντι ἢ ἐπὶ κακῷ γίνεται. ἐκ τοῦ τρίτου τὰ ὅπλα τοῦ πολέμου ὁπόσα εἰσίν, ἢ ποῖα τούτων ἐπιτήδειά εἰσι πρὸς τὴν νίκην, καὶ ἀχρεῖα μὴ ἔχοντα ὄφελος. ἐκ τοῦ

---

2 οὕτως ἐννοούμενος S, οὑτωσὶ νοούμενος p ὁ δὲ ἔχων S, f. 205, ὁ δ' ἔχων p, τὸ δῦνον (per compendium) ἔχων S, f. 186ᵛ 3 ἡμερώτερον erat in p πολέμους S, f. 205 4 ἀνημερότερον S, f. 205 5 ἢ pΦ 6 ἔχειν Φ, ἔχει ceteri σημαῖνον p

Cap. 12. S, f. 187 et 204ᵛ ; P, f. 110ᵛ, Φ f. 380. 7 ἐξ ἧς ἀναστροφή om. a 8 πολέμου P καταρχὴ καὶ om. S Φ 10 φησὶν ὁ Θεόφιλος om. SΦ 11 καὶ ἡ αἰτία τῆς μάχης SΦ 12 ἐπιστρατευόντων P, στρατευόντων Φ ἀντιστρατευόντων P με' pro θέσεως S. f. 204ᵛ 13 τριγώνων S 6 ἑπόντων cett., ἑπόντων Φ 14 ἢ μαρτ. Φ ἀστέρων cett , λαῶν P καὶ ἐκ τῆς Φ, καὶ τῆς cett. αὐτῶν om. S, f. 204ᵛ μέλλει Φ πόλεμιος P 16 καὶ ἐπὶ om. SΦ 8 ἢ γίνεται ἐπὶ κακῷ S ἐκ τοῦ cett. ἐκ τούιου Φ ὁποῖα ΦP ἐκ τούτων SΦ 18 εἰσὶ πρὸς τὴν SΦ, πρὸς νίκην P μὴ - ὄφελος cett., καὶ ἀνωφελῆ P

---

1) De die tertio septimo, quadragesimo Lunae, cf. *Col.* VIII, iii, p. 206, n. 1.

ὑπογείου ὁ τόπος ἐν ᾧ ὁ πόλεμος γίνεται, ἤγουν πεδιάσιμός ἐστιν ἢ ὀρεινός, παρὰ θάλασσαν ἢ παρὰ λίμνην, ἢ παρὰ μέγιστον ποταμόν, ἐν φάραγγι ἢ ἐν συνδένδρῳ τόπῳ ἢ ἐν ἐρήμῳ. ἐκ τοῦ πέμπτου τόπου τῶν στρατιωτῶν τὸ πρόθυμον ἢ τὸ ῥᾴθυμον, τὸ ἀνδρεῖον ἢ τὸ δειλόν. ἐκ τοῦ ἕκτου τόπου τὰ κτήνη τοῦ στρατοπέδου, ἤγουν ἵπποι καὶ ἡμίονοι καὶ κάμηλοι. ἐκ τοῦ ἑβδόμου τὰ μηχανήματα καὶ τὰ ἔντεχνα ἢ ἄτεχνα. ἐκ τοῦ ὀγδόου τὰ συμβαίνοντα ἔκ τε τραυμάτων καὶ ζωγρήσεων καὶ δρασμῶν καὶ λειποταξίας καὶ τῶν τοιούτων. ἐκ τοῦ ἐννάτου ἡ κατασκόπησις καὶ πᾶσα ἡ τῶν ἐναντίων γνῶσις. ἐκ τοῦ δεκάτου ὁ τρόπος τοῦ στρατηγοῦ καὶ τῶν σὺν αὐτῷ ἀρχόντων. ἐκ τοῦ ἑνδεκάτου ἡ παράταξις τοῦ πολέμου καὶ ἡ σύστασις τῶν ταγμάτων καὶ ἡ ἐφόρμησις κατὰ τῶν ἐναντίων. ἐκ τοῦ δωδεκάτου τὸ ἔθνος τὸ κακούμενον ἢ ἡ χώρα ἢ ἡ πολεμουμένη πόλις καὶ ἐπιστρατευομένη.

Χρὴ οὖν μετὰ πάσης προσοχῆς καὶ ἀκριβείας ποιῆσαι τῶν δώδεκα τόπων τούτων τὴν ἐξέτασιν καὶ τῶν κυρίων αὐτῶν καὶ τῶν θέσεων αὐτῶν καὶ τῶν ἐπόντων ἀστέρων μετὰ τὴς συσχηματίσεως τῶν φώτων καὶ τῶν ἐπιζητουμένων κλήρων τῆς Τύχης καὶ τοῦ πολέμου καὶ τῆς νίκης καὶ τῆς προγεγονυίας συζυγίας, καὶ ἁπλῶς πάντα καθὼς μεμαθήκαμεν. καὶ οὕτως ἀποφαινόμενοι οὐ μὴ σφαλῶμεν.

13. *Καταρχὴ πολεμική.*

Ἐκ τοῦ ὡροσκόπου ληπτέον τὸν ἐπιστρατευόμενον ἢ τὸν ἐρω-

---

1 ἤγουν] ἢ S Φ, εἴτε πεδιακὸς εἴτε Φ 2 περὶ θάλασσαν S f. 204ᵛ περὶ λήμνας S, f. 204ᵛ περὶ μέγιστον S, f. 204ᵛ 3 ἀδένδρῳ Φ 4 στρατῶν Φ ῥᾴθυμον, omisso τό Φ 5 δηλόν, S, f. 187ᵛ 5-7 ἐκ τοῦ - ἄτεχνα S f. 204ᵛ, Φ ; S. f. 187 addit δατρ, et Φ addit δα cum τρ supra lin. script. ; ἐκ τοῦ ζ' τὰ ἔντεχνα δῆλα ἢ ἄτεχνα P 8 τραυματειῶν S 10 δεκάτου P Φ, μρ S τρόπος S, f. 204ᵛ Φ, τόπος S, f. 187, P 11 ἡ πᾶσα τάξις S 12 ἐφόρμησις S Φ (sed Φ om. ἡ) ὅρμησις 14 ἢ ἡ πόλις ἢ πολεμουμένη S Φ 15-16 τὸν ιβ' τόπων τούτων S, f. 187, Φ, τῶν ιβ' τοῦ.τό S, f. 205 17 καὶ τῶν ἐπόντων - φώτων om. S, f. 205 18 κλῆρον Φ 19 προγενομένης S Φ 20 οὐ μὴ σφάλομεν S, f. 205. οὐ σφαλλούμεθα P

Cap. 13. S f. 188 et 223ᵛ, Φ, f. 381. περὶ καταρχῆς πολεμικῆς Φ

τῶντα ἡμᾶς περὶ πολεμούντων καὶ πολεμουμένων,ἐκ τοῦ δύνοντος τὸν ἀντιστρατευόμενον καὶ πολεμούμενον.καίτοι ἐκ τοῦ μεσουρανήματος σκεπτέον αὐτὸν τὸν πόλεμον ἐὰν γίνεται ἢ οὐ γίνεται, καί, ἂν γίνεται, ἐπιμενεῖ ἢ χρονιεῖ ἢ εἰς ὁμόνοιαν καὶ εἰρήνην ἔρχονται τὰ ἀμφότερα μέρη πάλιν δὲ ἐκ τοῦ ὑπογείου τὴν αἰτίαν τοῦ πολέμου καὶ τὸ τέλος, ἤγουν πρός τινα τῶν ἑκατέρων μερῶν ῥέπει ἡ νίκη. καὶ ἂν μὲν ὁ Κρόνος ὡροσκοπῇ, ὁ ἐπιστρατευόμενος ἄδικός ἐστι καὶ πανοῦργος καὶ ἱκανὸς καὶ βραδὺς καὶ βαρὺς καὶ δυσάντητος. Ζεὺς δὲ ὡροσκοπῶν σημαίνει τὸν ἐπιστρατευόμενον δίκαιον καὶ ἐπιτευκτικὸν ἢ βασιλέα. Ἄρης σημαίνει τολμηρόν, ῥιψοκίνδυνον, ἄτακτον. Ἥλιος δὲ καὶ Σελήνη βασιλέα ἢ ἐπίσημον καὶ μέγα στρατόπεδον. Ἀφροδίτη στρατηγὸν ἥμερον καὶ ἡδύτατον καὶ ἐπιμελούμενον τοῦ στρατοῦ. Ἑρμῆς στρατηγὸν συνετὸν καὶ τετρακταισμένον.

Κρόνος μεσουρανῶν ἐπίμονον σημαίνει τὸν πόλεμον. Ἄρης μεσουρανῶν ὀξυπραγίαν ἔχειν τὸν πόλεμον σημαίνει. Ζεὺς μεσουρανῶν εἰς ὁμόνοιαν δὲ καὶ εἰρήνην αὐτοὺς τρέπεσθαι δηλοῖ. ὡσαύτως καὶ ἡ Ἀφροδίτη τὸ αὐτὸ σημαίνει. ὁ δὲ Ἑρμῆς μεσουρανῶν διὰ δόλου καὶ χλεύης ἔσεσθαι τὸν πόλεμον σημαίνει. ἐπὶ δὲ τοῦ δύνοντος οἱ ἀστέρες τυχόντες σημαίνουσιν ὅσα καὶ ἐπὶ τοῦ ὡροσκόπου σεσημάνασιν.

Ἐὰν δὲ ὁ Κρόνος ἐν τῷ ὑπογείῳ τύχῃ, διά τινων παλαιῶν

---

1 *περὶ τῶν* S, f. 205ᵛ 2 *τὸ ἀντ.* Φ *μάρτυρος* totis litteris S, per compendium (quod et *μεσουράνημα* est) Φ 3 *ἐὰν γένηται* S. f. 205 *καὶ ἂν γίνεται* om. Φ 3 *ἐὰν γένηται* S, f. 203ᵛ 4 *ἂν γίνεται* S, f. 187ᵛ, *καὶ γινόμενος* S, f. 203ᵛ *ἐπιμένει* S, f. 203ᵛ, Φ, *ἐπιμο′* (*ο′* supra *μ* script.) S, f. 186ᵛ *ἰσομόνοιαν* S, f. 176ᵛ 5 *ἀμφότερα τὰ μέρη* S, f. 1204 *δὲ* om. Φ *ἐκ τοῦ ὑπὸ τὴν αἰτίαν* S 6 *πρὸς τινα ἑκάτερων δ ἔπει* S, f. 186ᵛ 7 *καὶ εἰ* S 8 *καὶ βαρὺς καὶ βραδὺς* S, f. 186ᵛ 9 *δὲ* om. S, f. 186ᵛ 10 *τὸ ἀμηρὸν* Φ 11 *δὲ* om. S, f 186ᵛ 12 *στρατὸν* S, f. 204 14 *τρακτανισμένον* a 16 *ὀξὺ πρᾶγμα* S, f. 186ᵛ *ἔχειν - δηλοῖ* om. S, f. 204 *Ζεὺς μεσουρανῶν* per compendia Φ, *τοῦ Διὸς μεσουρανοῦντος* S, f. 186ᵛ 17 *δὲ* om. S, f. 186ᵛ 23 *ὡσαύτως καὶ* om. S, f. 204 *ὁ δὲ Ἑρμῆς μεσουρανῶν* per compendia Φ, *τοῦ Ἑρμοῦ δὲ μεσουρανοῦντος* S a, sed f. 204 *τοῦ* om. 20 *δύνοντος* per compendium S, f. 186ᵛ, Φ, tot. litteris S, f. 204 21 *σεσημάγκασιν* S, f. 186ᵛ, Φ. 22 *δὲ* om. S *τυχόντες* addit a *τῷ ὑπὸ γῆν* Φ *διά τε παλαιῶν* S, f. 186ᵛ

πραγμάτων καὶ αἰσχρῶν προφάσεων γεγενῆσθαι τὸν πόλεμον σημαίνει, καὶ τὴν ἥτταν τῷ ἐπιστρατεύσαντι ἔσεσθαι, εἴπερ ἂν αὐτὸς τὸν Κρόνον ἔχῃ ἐν τῷ ὡροσκόπῳ, εἰ δ' ἐν τῷ δύνοντι, τῷ ἀντιστρατεύοντι. Ἄρης δὲ τὸ ὑπόγειον κέντρον λελαχὼς διὰ νέας ἀφορμὰς καὶ πραγμάτων ἀθεμίτων ἐπιβολὰς γεγενῆσθαι σημαίνει τὸν πόλεμον, ἡττᾶσθαι δὲ σημαίνει οὗτινος κεκλήρωται κέντρον. τοῦ Διὸς δὲ καὶ τῆς Ἀφροδίτης τὸ ὑπόγειον κατεσχηκότων, σημαίνουσι γεγονέναι τὸν πόλεμον διὰ γένους εὔκλειαν καὶ σεμνοπρέπειαν, καὶ νίκην ἔσεσθαι τοῖς ὅσοι ἂν ἑαυτῶν τὰ κέντρα κατεσχήκασι. ὁ δ' Ἑρμῆς καθὼς ἂν τὴν τούτων μαρτυρίαν δέξηται. ἔτι οὖν, τοῦ Ἡλίου κακουμένου τῷ μέρει, οὗ ὁ Κρόνος ἐπέχει, σημαίνει τὴν ἥτταν, τῆς δὲ Σελήνης κακουμένης τῷ μέρει, οὗ ὁ Ἄρης ἐπέχει. εἰ δ' ἐν τῷ μεσουρανήματι γένηται ἡ τῆς Σελήνης κάκωσις, ἀμφοτέρων τῶν μερῶν βλάβην σημαίνει. τοῦ κλήρου τῆς Τύχης, ἢ τοῦ κυρίου αὐτοῦ, κακουμένου εἰς ὃ μέρος ὑπάρχει, τὴν ἥτταν σημαίνει. ἡ Σελήνη κενοδρομοῦσα ἐχεχειρίαν τοῦ πολέμου δηλοῖ. ἡ Σελήνη ὑπὸ γῆν ἐν θηλυκῷ ζῳδίῳ, τοῦ Ἡλίου ὑπὲρ γῆν ἐν ἀρσενικῷ ζῳδίῳ, νίκην τοῦ βασιλικοῦ στρατοῦ σημαίνει.

14. Ἐὰν θέλῃ τις πολιορκῆσαι πόλιν καὶ τὴν εἰρήνην ὡσαύτως εὑρεῖν.

Δεῖ φυλάξασθαι τὸν Ἥλιον καὶ τὴν Σελήνην καὶ τὸν κύριον τοῦ κλήρου τῆς Τύχης ἀκακώτους, καὶ εἶναι αὐτοὺς ἐν τῷ δευτέρῳ

---

1 γεγενεῖσθαι S, et l. 5 2 ἂν om. S αὐτὸν codd. 3 ἔχει S, f. 204, ἔχει et ἔχοι Φ ἐν τῷ S, αὐτῷ Φ τῷ δυτικῷ Φ 4 δὲ om. S, f. 187 ἀφορμῆς S, f. ἐν τῷ τῆς γεννήσεως a 5 ἐπὶ αὐλὰς S, f. 187 6 οὗτινος S, f. 204, Φ ; οὕτω S, f. 187 κέντρω Φ, κέντρου a 7 δὲ om. S 9 τοῖς ὅσοι ἂν ἑαυτῶν Φ, τοῖς ὅσοι ἂν ἐν αὐτῷ S, f. 187 ; τοῖς ἀνθ' αὐτῶν S. f. 204 11 ὁ Κρόνος S, f. 187, Φ, ὁ Ἄρης S, f. 204 12 τῷ μέρει om. S 15 ὑπάρχῃ Φ 17 Κρόνος Σελήνη per symbola S, f. 187, ἡ Σελήνη ὑπάρχουσα S, f. 204, ἡ Σελήνη ὑπὸ γῆν Φ a 18 ἀρσενικῷ omisso ζῳδίῳ Φ βασιλέως λικοῦ Φ Cap. 14, S, f. 187 et 205 ; Φ, f. 381v. ἂν S, f. 187 21 αἴρειν S, f. 205 sc. καὶ εἰρηνικῶς αὐτὴν αἱρεῖν, cf. p. 217, l. 7 22 εἰ φυλ. S, f. 205 τὸν Ἥλιον per symbolum τοῦ κλήρου S, f. 205 23 καὶ ἀκάκωτον Φ

τόπῳ ἢ ἐν τῷ ὀγδόῳ ἀπὸ τοῦ ὡροσκόπου. ὡσαύτως καὶ τὸν κύριον τοῦ ὡροσκόπου ἀκάκωτον εἶναι. αὐτὸς δὲ ὁ κλῆρος τῆς Τύχης ἔστω εἰς τὸν φιλικὸν τόπον ἢ ἐν τῇ καλῇ Τύχῃ ἢ ἐν τῷ μεσουρανήματι ἢ ἐν τῷ ἐννάτῳ. συμφωνείτω δὲ καὶ ἡ Σελήνη τῷ ὡροσκόπῳ καὶ ὁ Ἑρμῆς ἀνατολικὸς ἔστω ὑπὸ τῶν καλοποιῶν μαρτυρούμενος. ταῦτα τὰ σχήματα τηρῶν, ἢ ὅλα ἢ τὰ πλείονα, εἰρηνικῶς καὶ ἀμαχητὶ τὴν πόλιν λήψῃ.

15. Περὶ πολέμων.

Εἰ βούλει γνῶναι ποῖον τῶν δύο στρατευμάτων καθυπερτερήσει τοῦ ἑτέρου, ὅτε μέλλει γενέσθαι πόλεμος, στῆσον τὸν ὡροσκόπον, καὶ ἴδε τὸν κύριον αὐτοῦ, ἔτι δὲ καὶ τὸν κύριον τοῦ ἑβδόμου τόπου, καὶ ἴδε τίνα τῶν δύο ἀστέρων ἐφορᾷ ὁ κύριος τοῦ μεσουρανήματος καὶ τῆς Σελήνης· ἐκεῖνος γὰρ καθυπερτερήσει. εἰ δὲ πάλιν βούλει γνῶναι ποῖον τῶν δύο καθυπερτερήσει, ἴδε τις ἐκ τῶν δύο ἀστέρων καλῶς κεῖται, ὁ κύριος τοῦ μεσουρανήματος ἢ ὁ κύριος τοῦ ἑβδόμου τόπου. καὶ εἰ μὲν ὁ κύριος τοῦ ἑβδόμου τόπου κρεῖττον κεῖται, καὶ ἐφορᾷ τοῦτον ἡ Σελήνη καὶ ὁ κύριος τοῦ μεσουρανήματος, τὸ πολεμούμενον μέρος νικήσει. εἰ δὲ ὁ κύριος τοῦ ὡροσκόπου εἰς κρεῖττονα τόπον κεῖται παρὰ τὸν κύριον τοῦ ἑβδόμου τόπου, καὶ ἐφορᾷ τοῦτον ὁ κύριος τοῦ μεσουρανήματος καὶ ἡ Σελήνη, ἡ νίκη ἔσται τῷ πολεμοῦντι. εἰ δ' ἐφορᾷ ὁ κύριος τοῦ μεσουρανήματος καὶ ἡ Σελήνη τὸν κύριον τοῦ ὡροσκόπου καὶ τὸν κύριον τοῦ ἑβδόμου τόπου, εἰρήνη μεταξὺ τῶν δύο μερῶν γενήσεται. εἰ δὲ μὴ ἐφορᾷ ὁ κύριος τοῦ μεσουρανήματος καὶ ἡ Σελήνη τόν τε κύριον τοῦ ὡροσκόπου καὶ τὸν κύριον τοῦ ἑβδόμου τόπου, οὐ γενήσεται πόλεμος, ἀλλ' ὑποστρέψουσι τὰ δύο μέρη ἄπρακτα περὶ πολέμου. ἴδε καὶ τὸν Ἄρην· καί, εἰ μέν ἐστιν ἐπίκεντρος, γενήσεται πόλεμος, εἰ δὲ μή, οὔ.

---

1 ἢ ἐν τῷ ὀγδόῳ S, καὶ ὀγδόῳ Φ τοῦ om. Φ 3 ἐν τῷ καλῷ τυχ (χ supra υ script.) S, f. 187. 4 συμφωνεῖται S, f. 187, Φ 5 κακοπ. f. 187, κακοποιῶν Φ 6 πλείω S, f. 187

Cap. 15. S, f. 190 ; Φ, f. 223ᵛ Περὶ τοῦ γνῶναι ποῖον στράτευμα νικήσει Φ 9 βούλη S 12 δύο φωστήρων Φ 13-14 εἰ δὲ πάλιν- τις om. a μάρτυρος tot. litteris S, et ll. 15, 17, 20, 21, 23 ; et Φ l. 20. compend. a 13 ἐκεῖνον S, ἐκεῖ Φ 16 τόπου κρείττων S, κρείττων Φ 18 μέρος S, μὲν Φ εἰς - κεῖται S, κρείττονα ἔχει τόπον Φ 27 εἰ μὲν S, εἴπερ Φ ἐν κέντρῳ S

16. *Προσδοκία πολέμου καὶ περὶ τοῦ μέλλοντος ἀπέρχεσθαι εἰς πόλεμον.*

Εἰ ἐρωτηθῇς, λάβε τὸν ὡροσκόπον εἰς πρόσωπον τοῦ ἐρωτῶντος, τὸν δὲ ἕβδομον τόπον εἰς πρόσωπον τοῦ ἐχθροῦ. γίνωσκε δὲ ὅτι οἱ ὑψηλοὶ ἀστέρες δυναμικώτεροί εἰσιν τῶν κάτω ἀστέρων ἐν τῷ πολέμῳ. καὶ ἴδε τὸν κύριον τοῦ ὡροσκόπου καὶ τὸν κύριον τοῦ ἑβδόμου τόπου, ποῖός ἐστι δυναμικώτερος, καὶ πρὸς τοῦτον ἀποφαίνου. καὶ εἴπερ εὕροις τὸν κύριον τοῦ ὡροσκόπου τῶν ὑψηλῶν ἀστέρων ὄντα καὶ ἐπίκεντρον, λέγε τὴν νίκην τῷ ἐρωτῶντι. εἰ δὲ τὸν κύριον τοῦ ἑβδόμου τόπου εὕρῃς τοιοῦτον, λέγε τὴν νίκην τῷ ἐναντίῳ, εἰ μὴ τύχωσιν ὕπαυγοι. εἰ δὲ ἴδῃς τὸν κύριον τοῦ ὡροσκόπου ὄντα τῶν ὑψηλῶν ἀστέρων καὶ ἀποκεκλικότα, τὸν δὲ κύριον τοῦ ἑβδόμου τόπου ἐπίκεντρον, μὴ ἀποφαίνου ὡς ὁ ἐναντίος νικήσει, ἀλλ' ἴδε πρῶτον τίνι συνάπτει ὁ κύριος τοῦ ἑβδόμου τόπου. καὶ εἴ γε συνάπτει ἀστέρι ἐπικέντρῳ, νικήσει, εἰ δὲ συνάπτει ἀστέρι ἀποκεκλικότι, ἡττηθήσεται. εἰ δὲ εὕρῃς τὸν κύριον τοῦ ὡροσκόπου<ἐν>φιλίῳ σχήματι,ἤγουν τριγώνῳ ἢ ἑξαγώνῳ συνάπτοντα τῷ κυρίῳ τοῦ ἑβδόμου τόπου, λέγε φιλίαν γενέσθαι μεταξὺ τῶν δύο ἐναντίων μερῶν. εἰ δὲ συνάπτει ἀπὸ τετραγώνου ἢ διαμέτρου, δέχεται δὲ ὁ εἷς τὸν ἕτερον, γενήσεται φιλία μετὰ πολλὴν ἐναντιότητα. εἰ δὲ εὕρῃς τὸν κύριον τοῦ ὡροσκόπου ἐν τῷ ἑβδόμῳ τόπῳ, γίνωσκε ὅτι ὁ ἐναντίος καθυπερτερήσει,καὶ μάλιστα εἰ συσχηματίζονται ἀλλήλοις ὅ τε κύριος τοῦ ὡροσκόπου καὶ ὁ κύριος τοῦ ἑβδόμου τόπου. εἰ δὲ ὁ κύριος τοῦ ὡροσκόπου τύχῃ ἐν τῷ ὡροσκόπῳ, σημαίνει δύναμιν τοῦ ἐρωτῶντος. εἰ δὲ ὁ κύριος τοῦ ὡροσκόπου τύχῃ ἐν τῷ ὀγδόῳ τόπῳ καὶ συνάπτῃ τῷ κυρίῳ τοῦ ὀγδόου

Cap. 16. S, f. 191, *Φ*, f. 223ᵛ; cf. infra cap. 20 *Περὶ προσδοκωμένου πολέμου, καὶ περί τινος μέλλοντος ἀπέρχεσθαι εἰς πόλεμον ἐὰν ἐρωτηθῇς Φ* a 3 *ἐρωτηθεὶς* S *ἐρωτοῦντος* S 7 *τούτοις* S 9 *ὄντων* S 10 *εὕροις Φ* a 11 *ἐναντίῳ δὲ* S 12 *ὄντων* S *ἀποκεκληκότα* S 13 *τόπου* om. *Φ* 15 *ἐπικέντρῳ - ἀστέρι* om. *Φ* 16 *ἀποκεκληκότι* S *εὕροις Φ* a et alibi 17 *ἐν* addidi *φίλῳ* S *τριγώνῳ ἢ ἑξαγώνῳ* per symbola Sa *Φ*; cf. l. 19 *συνάπτει* S *συνάπτον Φ* 20 *πολλῆς ἐναντιότητος* S 21 *τόπῳ* om. *Φ* 24 *τόπου* om. *Φ* *καὶ - τόπου* om. *Φ* 62 *συνάπτει* S et in seqq. ll.

τόπου, ἀπολεσθήσεται ὁ ἐρωτῶν. εἰ δὲ ὁ κύριος τοῦ ἑβδόμου τόπου τύχῃ ἐν τῷ δευτέρῳ ἢ συνάπτῃ τῷ κυρίῳ τοῦ δευτέρου τόπου, ἀπολεσθήσεται ὁ ἐναντίος. εἰ δὲ ὁ κύριος τοῦ ὡροσκόπου συνάπτῃ τῷ κυρίῳ τοῦ μεσουρανήματος.δηλοῖ νίκην τῷ ἐρωτῶντι,καὶ μάλιστα εἴ γε ἐν τῷ ὡροσκόπῳ τύχῃ. εἰ δὲ ὁ κύριος τοῦ ἑβδόμου τόπου τύχῃ ἐν τῷ τετάρτῳ τόπῳ , ἀκαταμάχητος ἔσται ὁ ἐχθρός. εἰ δὲ ἴδῃς τὸν κύριον τοῦ ὡροσκόπου ἐν τῷ δωδεκάτῳ τόπῳ, σημαίνει τροπὴν τοῦ ἐρωτῶντος. εἰ δὲ εὕρῃς τὸν κύριον τοῦ ἑβδόμου τόπου ἐν τῷ ἕκτῳ,σημαίνει τροπὴν τοῦ ἐχθροῦ,καὶ μάλιστα εἴπερ ἀναποδίζει. εἰ δὲ εὕρῃς τὸν κύριον τοῦ μεσουρανήματος ἐν τῷ ὡροσκόπῳ, δηλοῖ συμμαχίαν τῷ ἐρωτῶντι παρά τινος ὑπερέχοντος προσώπου. εἰ δὲ εὕρῃς τὸν κύριον τοῦ μεσουρανήματος ὄντα ἐν ἑβδόμῳ τόπῳ,συνεργηθήσεται ὁ ἐχθρὸς παρά τινος δυνατοῦ προσώπου. εἰ δὲ εὕρῃς τὴν Σελήνην ἀπὸ τοῦ κυρίου τοῦ ἑβδόμου τόπου ἀπορρεύσασαν, συνάπτῃ δὲ τῷ κυρίῳ τοῦ ὡροσκόπου,νίκην παρέχει τῷ ἐρωτῶντι. εἰ δὲ ἀπορρεύσῃ ἀπὸ τοῦ κυρίου τοῦ ὡροσκόπου, συνάπτῃ δὲ τῷ κυρίῳ τοῦ ἑβδόμου τόπου, ἡ νίκη ἔσται τῷ ἐχθρῷ.

17. Περὶ τοῦ ἐπιμένει ὁ πόλεμος ἢ οὔ.

Ἐν τῷ καιρῷ τῆς ἐρωτήσεως εἴπερ εὕρῃς τὸν Κρόνον ἐπίκεντρον καὶ οὐκ ἔχει λόγον οἰκοδεσπότου εἰς ἐκεῖνον τὸ κέντρον, σημαίνει πολυχρόνιον εἶναι τὸν πόλεμον, καὶ οὐ παύσεται, πρὶν ἂν ἐξέλθῃ ὁ Κρόνος ἀπ' ἐκείνου τοῦ ζῳδίου. εἰ δὲ εὕρῃς τοῦτον ἀναποδίζοντα, γίνωσκε ὅτι πολὺς γενήσεται ὁ πόλεμος.

18. Περὶ πολέμου ποιότητος.

Ἴδε τὴν δύναμιν τοῦ πολέμου καὶ τὴν χαύνωσιν ἐκ τοῦ Ἄρεως καὶ ἀπὸ τοῦ τόπου, ἐν ᾧ ἐστι, καὶ τοῦ ἀστέρος τοῦ συσχηματιζο-

---

2 δευτέρου S, η' Φ 13 περί τινος Φ συνάπτει codd. 15 νίκη ἔσται S 16 ἀπορρέει S 17 τόπου om. Φ

Cap. 17. S, f. 192 ; Φ, f. 224. Περὶ τοῦ γνῶναι εἰ ἐπιμέν<ει> ὁ πόλεμος ἢ οὔ Φ a ἐπιμεῖναι S 19 εὕροις Φ a et alibi. 20 ἐκεῖνο S 23 πολλάκις Φ a ; cf. p. 220 l. 14

Cap. 18. S, f. 192 ; Φ, f. 224. Περὶ πολέμου ποιότητος καὶ τίς νικᾶ ἡ ἐρῶτ (τ supra lin. script.) Φ, εἰ ἐρωτηθῆς a 26 ἀπὸ τόπου S

μένου αὐτῷ. καὶ λάβε τὸν ἀστέρα, ἀφ' οὗ ἀπέρρευσεν ὁ Ἄρης, εἰς πρόσωπον τοῦ ἐρωτῶντος, τὸν δὲ ἀστέρα, εἰς ὃν ἀπέρχεται συσχηματιζόμενος, εἰς πρόσωπον τοῦ ἐχθροῦ. καὶ τότε ἴδε ποῖος τῶν δύο ἀστέρων καθυπερτερεῖ τοῦ ἑτέρου· ὁ γὰρ καθυπερτερῶν νικήσει, καὶ ὁ καθυπερτερούμενος νικηθήσεται. καὶ οἷος ἀστὴρ συσχηματίζεται ἀγαθοποιῷ, ἐκεῖνο τὸ πρόσωπον καθυπερτερήσει. καὶ εἰ εὕρῃς ἐν τῷ καιρῷ τῆς ἐρωτήσεως τὸν Ἄρεα ἐν τῷ ἰδίῳ ὑψώματι ἢ ἐν τῷ ὑψώματι τοῦ Ἡλίου, τοσοῦτον δυναμωθήσεται ὁ πόλεμος, ὥστε ἀκουσθῆναι αὐτὸν ἐν τῇ ἀνατολῇ καὶ ἐν τῇ δύσει. τὸ αὐτὸ δὲ ἔσται εἴπερ καὶ ὁ Ἄρης εὑρεθῇ ἐν τῷ ὡροσκόπῳ. εἰ δὲ ἐν τῇ δύσει ἐστίν, ἄγρευμα(?) δόλιον γενήσεται ὁ πόλεμος, καὶ πολλὴ σφαγὴ γενήσεται. εἰ δὲ ὁ Ἄρης ἐν στερρῷ τύχῃ ζῳδίῳ, οὐ μὲν ἐπικεντρος, ἐλάττων ἔσται ὁ πόλεμος. εἰ δ' ἐν δισώμῳ τύχῃ ζῳδίῳ, καὶ πολλάκις γενήσεται ὁ πόλεμος. εἰ δ' ἐν τροπικῷ, ἐνδυναμωθήσεται ὁ πόλεμος. εἰ δ' ἐν ἰδίῳ τύχῃ οἴκῳ ἢ τριγώνῳ, μέγας ἔσται ὁ πόλεμος. εἰ δ' ἐν ταπεινώματι αὐτοῦ τύχῃ, οὐκ ἔσται μέγας, ἀλλ' ἐν ὀλίγῳ καιρῷ παρελεύσεται.

19. *Περί τινων στρατιωτῶν ἀποσταλέντων εἰς ζήτησιν ἑτέρων στρατιωτῶν, καὶ εἰ καταλάβωσι αὐτούς, καὶ εἰ γενήσεται πόλεμος μέσον αὐτῶν.*

Λάβε τὸν ὡροσκόπον εἰς πρόσωπον τοῦ ἐρωτῶντος, τὸν δὲ ἕβδομον τόπον εἰς πρόσωπον τῶν φευγόντων, καὶ εἴπερ συνάπτουσιν ἀλλήλοις οἱ κύριοι αὐτῶν, καταλήψονται οἱ διώκοντες τοὺς φεύγοντας, εἰ δὲ μὴ συνάπτουσιν, οὐδ' ὅλως συναντήσουσι. καὶ εἰ εὕρῃς τὸν Ἄρεα ἀποκεκλικότα, οὐ γενήσεται πόλεμος. εἰ δὲ ὁ Ἄρης ἐπίκεντρος εὑρεθῇ, γενήσεται πόλεμος. εἰ δὲ μὴ ἐφορῶσιν ἀλλήλους ὅ τε κύριος τοῦ ὡροσκόπου καὶ ὁ κύριος τοῦ ἑβδόμου

---

1 αὐτοῦ S ἀπέρρεεν S 2 συσχηματιζομένου S 3 ποῖον S 6 ἀγαθοποιός S 9 καὶ δύσει *Φ* 10 εἴπερ Ἄρης *Φ* δυτικῷ a 11 ἔγρυμα codd. 12 ἐν om. *Φ* 16 καὶ om. *Φ*

Cap. 19. S, f. 192ᵛ; *Φ*, f. 224ᵛ. *Περὶ ἀποσταλέντων στρατιωτῶν πρὸς ἐπιζήτησιν ἑτέρων στρατιωτῶν· καὶ βούλει γνῶναι εἰ καταλάβῃ αὐτοὺς καὶ γενήσεται μεταξὺ ὁ πόλεμος* S 25-26 εἰ δὲ μὴ - πόλεμος om. S

τόπου, οὔτε μὴν ἡ Σελήνη ἢ ἕτερος ἀστὴρ διαπορθμεύῃ τὰς ἀκτῖνας αὐτοῦ ἐπὶ τὸν ἕτερον, οὐ καταλήψονται αὐτούς.

20. *Περὶ πολέμου.*

Εἰ ἐρωτηθῇς περὶ πολέμου, λάβε τὸν ὡροσκόπον εἰς πρόσωπον τοῦ κατάρξαντος, τό τε δῦνον εἰς πρόσωπον τοῦ ἐναντίου. καὶ ἴδε ποῖός ἐστι δυνατώτερος,καὶ ἀποφαίνου ἐκείνου τὴν νίκην, καὶ γίνωσκε ὅτι οἱ ὑψηλοὶ ἀστέρες δυνατώτεροί εἰσι τῶν χθαμαλῶν. εἰ δὲ ἴδῃς τὸν κύριον τοῦ ὡροσκόπου, καὶ εὕρῃς αὐτὸν ὅτι ἐκ τῶν ὑψηλῶν ἀστέρων ἐστὶ καὶ ἀποκλίνει, τὸν δὲ κύριον τοῦ ἑβδόμου τόπου ἐπίκεντρον, μὴ εἴπῃς ὅτι ἡττηθήσεται ὁ ἐρωτῶν, πρὶν ἴδῃς τίνι συνάπτει ὁ κύριος τοῦ ἑβδόμου τόπου. εἰ γὰρ συνάπτει ἀγαθοποιῷ ἐπικέντρῳ,νικήσει. εἰ δὲ ἀπέρχεται εἰς συναφὴν τοῦ κακοποιοῦ διὰ συνόδου ἢ τετραγώνου ἢ διαμέτρου, μέχρι τότε παραμένει αὐτὸν ἡ εὐόδωσις, ἄχρις ἂν ὑπὸ ἑνὸς τούτων κακοποιηθῇ ἢ ὕπαυγος γένηται.

21. *Περὶ πόλεως πολιορκουμένης, εἰ κρατηθήσεται ἢ οὔ.*

Εἰ ἐρωτηθῇς, καὶ εὕρῃς τὸν κύριον τοῦ ἑβδόμου τόπου ἐν τῷ ὡροσκόπῳ ἢ ἐν τῷ δευτέρῳ τόπῳ, ἀπόγνωθι τὴν πόλιν ἐκείνην· εἰσελεύσεται γὰρ ὁ ἐχθρός.

22. *Περὶ καταρχῆς.*

Τοὺς ἐπικειμένους ἀστέρας ἐπὶ τῶν κέντρων δεῖ ἐκζητεῖν· αὐτοὶ γὰρ δηλοῦσι τὰς ἀρχὰς τῶν πραγμάτων, ὁποῖαι ἂν ὦσι, εἴτε ἀγαθὰς εἴτε καὶ φαύλας. ἐπὶ μὲν οὖν Κρόνου καὶ Διὸς καὶ Ἄρεως

---

1 *διαπορθμεύει* codd. 2 *αὐτῶν Φ*

Cap. 20. S, f. 195 ; *Φ*, f. 224. Cf. p. 218, cap. 16 *Περὶ πολέμου εἰ ἐρωτηθῇς Φ* a 4 *ἐρωτηθεὶς* S a 5 *τήν τε δύσιν Φ* 6 *δυναμώτερος Φ* *ἀπόφαινε* S *ἐκείνω* a 7 *δυναμώτεροι Φ* 10 *τόπου* om. *Φ* 11 *εἰ δὲ Φ* 11-12 *ἀγαθοποιὸς ἐπικ. νίκη* S 12 *αὐτῷ Φ* a

Cap. 21. S, f. 195 ; *Φ*, f. 225. 18 *τόπου* om. *Φ* 19 *ἐν τῷ Κρόνῳ* S

Cap. 22. S, f, 195v. 23 *ὁποίας* S

ἐάν τις ἀστὴρ ἐπέχει τινὰ τῶν κέντρον, καὶ ἔστιν ἑῷος, καὶ μάλιστα ἐὰν δύσιν ἔχει ἐν ἐκείνῳ τῷ τόπῳ τοῦ κέντρου, ἡ αἵρεσις δηλωτική ἐστι τοῦ πράγματος. εἰ δὲ καὶ ὑποφάντωρ ἐστὶ καὶ πάροχος ὁ τοιοῦτος ἀστὴρ τῆς δηλουμένης πράξεως, τότε ἀνενδοιάστως αὐτὸν δεῖ ἐκζητεῖν καὶ τὴν αὐτοῦ ἀπόφασιν, ἐπὶ δὲ Ἀφροδίτης καὶ Ἑρμοῦ ὁ ἑσπέριος. τὰ δὲ μετὰ τὴν ἀρχὴν τῆς πράξεως ἑπόμενα οἱ ἐπαναφέρομενοι, πλὴν ἐναλλάξ, ἀντιλαμβάνονται. ἐὰν οὖν πάντες εὑρεθῶσιν ἐπίκεντροι, ὁ πρῶτος τῷ κέντρῳ προσπελάζων ἢ τῇ ἀναφορᾷ κυριώτερον εἶναι, ὥς τινες τῶν παλαιῶν. ἐγὼ δέ φημι ὅτι <ὁ> πλείω λόγον ἔχων μᾶλλον πάροχος κρινέσθω, καὶ αἱ ἀρχαὶ μὲν ἐκ τοῦ ὡροσκόπου, τὰ τέλη δὲ ἀπὸ τοῦ δύνοντος (ἤγουν τὸ πέρας τοῦ πράγματος), τὰ δὲ μέσα τὸ μεσουράνημα, τὰ δὲ μετὰ τέλος τὸ ὑπὸ γῆν, τὸ τοῦ ὡροσκόπου δὲ ἀπόκλιμα τὸν διεληλυθότα χρόνον, τὸν δὲ ἐνεστῶτα τὸ μεσουράνημα, τὸν μέλλοντα τὸ δῦνον, τὴν ἐκ τόπου δὲ μετάβασιν τὸ ἀποκλίνον ἐκ τοῦ μεσουρανήματος. καὶ τοῦτο διαμετροῦν κυρίως δηλοῖ. παρομοίωσιν δὲ λέγουσι τὸν ὄγδοον τόπον καὶ τὸν δεύτερον ἀπὸ ὡροσκόπου. τὰ οὖν ἐλπιζόμενα πάντα οὐ καθ' ἕνα τρόπον μόνον λαμβάνονται, ἀλλὰ καὶ πολυτρόπως λαμβάνονται ἐκ τῶν δευτέρων συναφῶν τῆς Σελήνης καὶ ἐκ τῶν φάσιν μελλόντων ποιεῖσθαι ἀστέρων, ἐκ τῶν ἐπαναφερομένων ζῳδίων καὶ ἐκ τῶν μεταβάσεων τῶν ἀστέρων καὶ ἐκ τῶν μετασχηματισμῶν αὐτῶν τε καὶ τῶν τῆς Σελήνης. τὸ δὲ ἐπὶ τῶν ἡλικιῶν ὅμοιόν ἐστι τῷ ἐπὶ τοῦ ἀστέρος ζητουμένῳ. εἰ δὲ μηδὲ ἔχει τὰ κέντρα αὐτός, τότε τὰ ζῴδια διαδηλοῦσιν, ἢ αὐτὰ ἢ οἱ οἰκοδεσπόται αὐτῶν, ὁποῖαν ἂν ἔχει ἕκαστον φύσιν. ἐπεὶ δὲ ἀγαθοποιοὶ καὶ κακοὶ κρίνονται οἱ ἀστέρες πάντες, ὡς μεμαθήκαμεν, ἐπὶ τῶν ζητουμένων, φησί, λοιπῶν πραγμάτων προδηλωθέντων οἱ μᾶλλον κρατοῦντες ἐπιτεύξονται πρὸς τὴν τῶν οἰκείων κράσιν καὶ τὸν σχηματισμόν, ἐξ ἴσου δὲ ἀναμιγέντες δηλοῦσι τὸ ἀνώμαλον. ἀγαθοὶ μὲν <ἐὰν> ἐν ταῖς ἀρχαῖς ὦσιν ἐπικρατέστεροι, ἀγαθὰς ἀποφάσεις δηλοῦσιν· εἰ δὲ φαῦλοι, ἐπὶ τὸ χεῖρον τὸ πρᾶγμα μεταβήσεται. καὶ τὰ ἄλλα δὲ ὁμοίως φανερά. πάλιν, ἐπεὶ πάντες, ὡς ἔφημεν, ὁμοίως ἰσχύουσιν, τὴν τοῦ καλοῦ καὶ κακοῦ κατηγορίαν χρὴ ἐπὶ τῶν κατ' εἶδος ἑνὸς

---

1 ἐπέχῃ S 2 δύσιν per compendium. 9 Leg. κυριώτερος ἐστι?
10 ὅτι πλέον S 16 τουτ (τ supr. lin.) διαμτ (μτ supr. lin.) S
22 αὐτῶν τὴν καὶ S 27 φησὶ sc. Petosiris ? cf. p. 223, l. 18
λοιπὸν S 28 οἰκεῖον S 29 ἐὰν addidi.

ἑκάστου αὐτῶν πραγμάτων μὴ σφάλλεσθαι, μηδὲ ἕτερον τῷ ἑτέρῳ διδόναι, μήτε ἀλλότριον αὐτοῦ τι προσδοκᾶν. περὶ μὲν οὖν κληρονομίας καὶ κτίσεως ὁ Κρόνος αὐτὸς ἐνίοτε καὶ αὐτοκράτορα ποιεῖ καὶ σὺν αὐτῷ Ζεὺς ἀκάκωτος, Ζεὺς δὲ ἔργον λαμπρόν · κακουμένου δέ, κατακρίτους. Ἄρης δὲ στρατοπεδάρχας, ὅπλων κατασκευὰς καὶ τῶν ὁμοίων. Ἥλιος δὲ περιφανείας καὶ δόξας · κακῶς δὲ κειμένου, ἀτάφους · ἐνίοτε ποιεῖ καὶ πυρικαύστους. Ἀφροδίτη δὲ γάμους καὶ εὐφροσύνας καὶ στολισμοὺς ποιεῖ, ἐνθέους τε καὶ θεομύστας · κακουμένης δέ, ἀσελγεῖς. Ἑρμῆς δὲ παιδείας, σοφίας, τέχνας καὶ τὰ ὅμοια · κακουμένου δέ, ψεύστας καὶ δολίους.

Γνωστὸν δέ σοι ἔστω ἐπὶ πάσης καταρχῆς ὅτι, ἐὰν ὁ τὴν πρᾶξιν σημαίνων ἀστὴρ καλῶς κείμενος εὑρεθῇ, Σελήνη δὲ τότε καὶ ὁ δεσπότης τοῦ ὡροσκόπου καλῶς κείμενοι ἢ οὐδὲν ὠφελήσουσιν, ἢ ὀλίγον κέρδος παρέξουσιν. ἐὰν δὲ κακούμενός ποτε ὁ τὴν πρᾶξιν παρέχων ἀστὴρ διαμετρῇ Κρόνον, ἀποκλίνας νυκτὸς <ἢ> τὴν Σελήνην ἢ τὸν ὡροσκόπον, τότε τὴν καταρχὴν πάντως κακὴν νόμιζε.

Πετόσιρις δὲ τὸν τῆς Σελήνης οἰκοκράτορα καὶ αὐτὴν τὴν Σελήνην καὶ τὸν Ἥλιον καὶ τὸν οἰκοδεσπότην αὐτοῦ κατάκεντρα ἐπὶ ταῖς ἀρχαῖς τῶν πραγμάτων οὕτως βούλεται λαμβάνειν · ἐπίκεντρος γὰρ ὢν ὁ Φωσφόρος καὶ ὁ οἰκοκράτωρ τῆς Σελήνης, καλῶς κειμένης, ταχέως τελέσει τὸ ζητούμενον, ἐν δὲ ταῖς ἐπαναφοραῖς σὺν χρόνῳ. ἐξετάζει δὲ αὐτῆς τὰς συναφὰς καὶ τὰς ἀπορροίας, καὶ μέχρι συνόδου. καὶ τὰς ἀρχὰς μὲν αἱ ἀπόρροιαι δηλοῦσι, τὰ τέλη δὲ αἱ συναφαί. <τὸν> κλῆρον δὲ Τύχης πάλιν οὐ παραβλέπει, ἀλλὰ λέγει ὅτι δεῖ τὸν κλῆρον τῆς Τύχης ἐφορᾶσθαι ὑπὸ Ἡλίου ἢ τοῦ οἰκοδεσπότου αὐτοῦ ἢ τοῦ ὡροσκόπου. ἐγὼ δὲ λέγω ὅτι ὁ κλῆρος τῆς Τύχης ὑπὸ ἀγαθῶν ἐφορώμενος ἢ ὑπὸ τοῦ τὴν πρᾶξιν παρέχοντος ἀκακώτου ὑπάρχοντος, ὠφέλιμός ἐστι καὶ ἀγαθός. ἐὰν οὖν ὁ οἰκοδεσπότης τῆς Σελήνης τετραγωνίζων τὴν Σελήνην μένῃ ἐν τῷ αὐτῷ ζῳδίῳ, ἐν ᾧ ὑπάρχῃ, ἐπὶ δὲ τὴν Σελήνην <μεταβαίνῃ>, ταχέως τὸ πρᾶγμα τελεῖται, καὶ μᾶλλον, εἰ ἐπίκεντρος. εἰ μὲν μετάβασιν ποιεῖται ὡς ἐπὶ τριγώνου, βραδύτερον · εἰ δὲ

---

3 *Κρόνος ὁ αὐτὸς* S 5 *κατακρίτου* S 6 *περιφανίας* S 13 *κειμένη* S 15 *ἢ* add di 18 *αὐτ* (*τ* supr. lin.) S 23 *ταῖς συναφαῖς* S 25 *τὸν* addidi 31 *ἐπεὶ δὲ τὴν* S *ὑπάρχων* S *μεταβαίνῃ* addidi

ἀπὸ ἀσυνδέτου μεταβαίνει, πρὶν ἢ καταλαβεῖν τὴν Σελήνην τὸν τόπον ἐκεῖνον ἢ αὐτὸν τὸν χρόνον, μόλις ἐτελέσθη. ἐὰν ἐπεισελθούσης ἐκεῖ τῆς Σελήνης καλοὶ μαρτυρήσουσιν, ὅλως ἀτυχὲς τὸ ζητούμενον. καὶ περὶ τούτων ὡς ἐπὶ γένους ἡ ἐξέτασις. τὰ γὰρ πλεῖστα τῶν πταισμάτων ἐνθάδε γίνεται. σκέπτεσθαι δὲ δεῖ τὴν Σελήνην καὶ τὸν ὡροσκόπον καὶ τὸν Ἥλιον ἡμέρας μάλιστα. Σελήνη δὲ ὑπὲρ τὸν ὡροσκόπον προκρίνεται ὑπερ γῆν οὖσα, καὶ μάλιστα νυκτός· ἡμέρας δὲ ὑπὸ γῆν οὖσα· προκρίνεται ὁ τοῦ ὡροσκόπου καὶ Ἥλιος ταῦτα κοινῶν.

23. Περὶ καταρχῆς, πῶς γνωσόμεθα τὸν τὸ κῦρος ἐπέχοντα ἐπὶ πάσης ἐκζητήσεως.

Πρὸ πάντων δεῖ ζητεῖν τὸν δεσπότην τοῦ ὡροσκόπου,τὸν οἷακα αὐτὸς δὲ ὑπάρχων ἐν τῷ ὡροσκόπῳ μοιρῶν... ἔχει λόγον, ἐπὶ δὲ τοῦ μεσουρανήματος τὸ ἥμισυ. — εἶτα τὸν ὁριοκράτορα. καὶ οὗτος καὶ ἐπὶ ὡροσκόπου τυχὼν μόνος ἔχει λόγον, ἐν δὲ τῷ ἰδίῳ ὑψώματι καὶ ἐπίκεντρος, εἶτα τριγωνοκράτωρ μοιρῶν ὢν ἐπὶ τοῦ ὡροσκόπου. εἶτα εἰ ὁ διέπων ὡσαύτως εὑρεθῇ μοιρῶν ἕξ, ὁριοκράτωρ δὲ μοιρῶν τεσσάρων. μετὰ δὲ ταῦτα οἱ ἑπόμενοι λόγοι μικρὸν σῆμα ἔχουσιν, οἷον ὁ τοῦ προσώπου, ἀλλὰ καὶ ὁ τῆς πράξεως πάροχος παρὰ πολλοῖς ἰσόψηφος τοῖς προτέροις ἐκρίθη, καὶ παρ' ἡμῖν οὐκ ἄμοιρος μεγίστης προκρίσεως. ὁ δὲ τῆς Τύχης δεσπότης καὶ αὐτὴ ἡ μοῖρα τοῦ κλήρου οὐκ ἀπόβλητοι ἔστωσαν. Σελήνη δὲ σὺν τούτοις καὶ μετὰ τούτων καὶ ἄνευ τούτων ἀπαρενδέκτως ἐκζητείσθω, αὐτή τε καὶ ὁ δεσπότης αὐτῆς. οἱ δὲ τόποι αὐτῶν οἱ προκρινόμενοι οὗτοι. ὡροσκοπείτω, τὸ μεσουράνημα, τὸ δῦνον, τὸ ὑπὸ γῆν, τὸν ἑνδέκατον καὶ τὸν πέμπτον. τὸν δὲ ἑνδέκατον πολλοὶ ἴσον τοῦ ὡροσκόπου καὶ τοῦ μεσουρανήματος, ἡμεῖς δὲ μετ' αὐτοὺς αὐτὸν τιθέαμεν. ἀλλὰ καὶ ἡ ἐπαναφορὰ παραδοθῇ καλῶς. Σελήνη μὲν ἐπὶ τοῦ ὡροσκόπου καὶ τοῦ μεσουρανήματος οὐκ ἀεὶ ἐν πᾶσι καλή· ἐν πολλοῖς γὰρ παραβλέπεται πρᾶγμα, ἐν οἷς

---

3 καλοὺς S 4 τούτ (τ supr. in.) S
Cap. 23. S, f. 197. 13 αὐτοῦ δὲ ὑπάρχοντος S post μοιρῶν numerus desideratur, fortasse et l.15 ; cf. l. 17. 14 εἶτα τὸν ὁριοκρατρ (τρ supr. lin.) S 15 οὕτως ὡροσκόπησον cod. 12 ὁ ια' καὶε' S

σημαίνομεν. ὁ οὖν πλείω λόγον ἔχων, αὐτὸς τὸ κῦρος ἐχέτω. οἱ δὲ λοιποὶ μάρτυρες · ὁ δὲ προκριθεὶς ἐὰν ἐπὶ τῶν κέντρων κριθῇ, ἐπὶ μὲν τοῦ ὡροσκόπου καὶ τοῦ μεσουρανήματος τὰ τέλη τῶν μοιρῶν ἔχει, ἐπὶ δὲ τοῦ ἑνδεκάτου τὸ ἡμίσυ, ἐν δὲ τῷ πέμπτῳ ἢ ἐννάτῳ τὸ τρίτον. ἢ καὶ ἐπὶ τοῦ δύνοντος καὶ τοῦ ὑπὸ γῆν, οἱ μὲν τὰ τέλη, οἱ δὲ τὸ τρίτον, ἄλλοι ἄλλως. ὅμως ἡμεῖς βουλόμεθα αὐτοὺς καλῶς κειμένους ἐφορᾶν τὸν ὡροσκόπον καὶ τὴν Σελήνην καὶ τὸν κλῆρον τῆς Τύχης φιλικῶς κατ' ἀλλήλους καὶ τὸν τῆς πράξεως πάροχον. ἀλλ' ἐπεὶ τοῦτο δυσεύρετον, ὅση δύναμις ἡμῶν, ἱκανὸν τὸ πλεῖστον εὑρεῖν. εἰ δὲ τύχῃ μηδὲν ὧν προείπομεν μεσεμβολεῖσα, ἀποστῶμεν ἡμεῖς τῆς τοιαύτης ἐρωτήσεως μακράν, Θεῷ δὲ παραπέμψωμεν τὸ πέρας αὐτῆς, τῷ ἐκ τοῦ μὴ ὄντος παραγαγόντι ἅπερ ἠβούλετο. Σελήνης δὲ πρόκριτοι τόποι τὸ μεσουράνημα, ὁ ἑνδέκατος τόπος καὶ ὁ πέμπτος. καὶ ἐπὶ τούτοις ὁ ὡροσκόπος, τὸ δῦνον, ὁ ὑπόγειος, ἡ ἐπαναφορά, τοῦ ὡροσκόπου τὸ δωδεκατημόριον. τῆς Σελήνης καὶ πάντων τῶν προκρινομένων καλῶς κειμένων καὶ ὑπὸ ἀγαθοποιῶν ἐφορωμένων, ἐν πολλοῖς συμβάλλεται. περὶ δὲ τῶν ἐπιβλέψεων ἐν τῷ περὶ συναφῆς καὶ ἀπορροίας πολυμερῶς καὶ πολυτρόπως ζητουμένῳ ἐκθώμεθα. παραφυλακτέον δὲ πάντως καὶ πανταχοῦ. καὶ περὶ αὐτῶν ἔστω ἡμῖν ὁ ἀγὼν καὶ ἡ φροντὶς συσχηματίζεσθαι τῷ δηλωτῇ καὶ τῷ παρόχῳ τῆς πράξεως ἀγαθῆς καὶ τῷ οἰκοδεσπότῃ αὐτῶν τε καὶ τῶν φωστήρων καὶ ὑπὸ ἀγαθῶν δωρυφορεῖσθαι. ταῦτα κοινὰ ἐπὶ πάσης καταρχῆς ἡμῖν ἐστιν.

24. *Περὶ ἐκλογῆς τῆς εἰς πόλεμον ἐξελευσεως κεφάλαιον ἀναγκαιότατον πάνυ.*

Εἶπεν Σεχὲλ ὁ τοῦ Πασὶ τοῦ Χάππου τοῦ Ἰουδαίου[1] *· καὶ εἰ*

---

1 *σημάνομεν* S 4 *τὰ ἡμισ.* per compendium S. 6 *οἱ δὲ τὰ γ'* S 8 *καὶ ἀλλ.* S 10 *προσείπομεν* S *μεσεμβολεῖσαν* S 13 *τὸ... παραγαγόντος* S 22 *ἀγαθῆς* post *φωστήρων* S Cap. 24 ; S, f. 200^{v} b.

---

(1) Nomen corruptum quod in codicibus graecis *Σέχλ*, *Σελέχ*, *Σάχλ τοῦ Πέσρ* (cf. indices Catalogi nostri) legitur, est arabice Saḥl-ben-Bisr ben Habib, Iudaeus astrologus, qui saec. IX vixit ; cf. *Cat.* V, iii, p. 98.

ἔστιν ὁ βασιλεὺς μόνιμος καὶ ἡ ἐξουσία,ἴσως διωχθήσεται ὁ στρατηγὸς καὶ διαχειρισθήσεται.διὰ τοῦτο χρὴ ἡμᾶς θέλοντας ἐκλογὴν ποιῆσαι,τῷ βασιλεῖ ἢ τῷ στρατηγῷ αὐτοῦ, τοῦ ἐλθεῖν εἰς πόλεμον, ἵν' ἀγαθύνωμεν τὸν ὡροσκόπον μετὰ ἀγαθοποιοῦ, ἵνα παύσωμεν τὴν κάκωσιν τοῦ Ἄρεως · καὶ μᾶλλον εἰ ἔστιν Ἀφροδίτη, διότι αὕτη παύει τὴν κάκωσιν τοῦ Ἄρεως, ὅς ἐστι κύριος τοῦ πολέμου καὶ ἀστὴρ τῆς αἰχμαλωσίας. αὕτη γὰρ δυνατωτέρα ἐστὶ τοῦ Διὸς ἐν τῷδε τῷ τρόπῳ. ποιήσωμεν δὲ καὶ τὸν κύριον τοῦ ὡροσκόπου ἀπὸ τῶν ὑψηλοτέρων ἀστέρων, τὸν δὲ κύριον τοῦ Διὸς ἀπὸ τῶν χθαμαλωτέρων. καὶ τὸν κύριον τοῦ ὡροσκόπου ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ, τὸν δὲ κύριον τοῦ ἑβδόμου ἐν τῷ ὑπὸ γῆν. καὶ τὸν κύριον τοῦ ὡροσκόπου ἐν ζῳδίῳ στερεῷ, καὶ τὸν κύριον τοῦ ἑβδόμου ἐν ζῳδίῳ τροπικῷ. καὶ τὸν κύριον αὐτοῦ τοῦ ὡροσκόπου ἐν τῷ ὑψώματι αὐτοῦ, τὸν δὲ κύριον τοῦ ἑβδόμου ἐν τῷ ταπεινώματι αὐτοῦ.καὶ τὸν κύριον τοῦ ὡροσκόπου προποδίζοντα,καὶ τὸν κύριον τοῦ ἑβδόμου ὑποποδίζοντα. καὶ τὸν κύριον τοῦ ὡροσκόπου ἀνατολικόν, τὸν δὲ κύριον τοῦ ἑβδόμου δυτικόν. καὶ τὸν κύριον τοῦ ὡροσκόπου δυνατόν,τὸν δὲ κύριον τοῦ ἑβδόμου ἀσθενῆ καὶ ἀδύνατον.καὶ τὸν κύριον τοῦ ὡροσκόπου ἐν ἰδίῳ οἴκῳ,τὸν δὲ κύριον τοῦ ἑβδόμου ἐν τῷ ἐναντιώματι αὐτοῦ · ἔσται γὰρ ὁ κύριος τοῦ ὡροσκόπου ἀγαθοπεποιημένος, ὁ δὲ κύριος τοῦ ἑβδόμου ὕπαυγος. καὶ ὁ κύριος τοῦ ὡροσκόπου ἐν χαροποιῷ οἴκῳ, καὶ ὁ κύριος τοῦ ἑβδόμου ἐν λυπηρῷ. καὶ ὁ κύριος τοῦ ὡροσκόπου σὺν ἀγαθοποιοῖς καὶ σχηματίζουσιν αὐτόν, ὁ δὲ κύριος τοῦ ἑβδόμου σὺν κακοποιοῖς καὶ ἐμπεριεχόμενος μέσον τῶν δύο κακοποιῶν ἢ μεθ' ἑνὸς τῶν δύο συνδέσμων, τοῦ τε ἀναβιβάζοντος καὶ τοῦ καταβιβάζοντος. ἔσται δὲ ὁ κύριος τοῦ ὡροσκόπου ἐν κέντρῳ εὐαπόδεκτος ἐν τῷ τόπῳ αὐτοῦ καὶ ἀπὸ τοῦ κυρίου τοῦ οἴκου αὐτοῦ, καὶ ὁ κύριος τοῦ ἑβδόμου ἐν ἀποκλιμάσιν οἴκοις καὶ παρηλλαγμένοις καὶ ἀσθενέσιν, ἢ μετὰ τοῦ Κρόνου ἢ τοῦ Ἄρεως, ἢ ἐν τετραγώνοις ἢ διαμέτρῳ αὐτῶν. καὶ ἔσται ὁ κύριος τοῦ ὡροσκόπου καὶ τοῦ δευτέρου ἀγαθοπεποιημένοι, καὶ ὁ κύριος τοῦ ἑβδόμου καὶ τοῦ ὀγδόου κακοπεποιημένος. καὶ ὁ κύριος τοῦ ὡροσκόπου κακοποιῶν τὸν κύριον τοῦ ἑβδόμου, καὶ ὁ κύριος τοῦ δευτέρου κακοποιῶν τὸν κύριον τοῦ ὀγδόου. ποίει δὲ καὶ τὴν Σελήνην ἀπορρέουσαν ἀπὸ ἀστέρων ἀνωτέρων καὶ συναπ-

---

8 fort. *τῷδε τῷ τόπῳ* 17 *δυττικόν* S 28 *ἀποκλήμασι* S
30 *τετραγώνῳ* ? 35 *ἀνωτερ* (*τερ* supra lin.) S

τομένην ἀστέρι χθαμαλωτέραν. τοῦτο γὰρ κάλλιστόν ἐστιν ἐν τοῖς πολέμοις σημαῖνον τὴν νίκην καὶ τὰ τρόπαια. ἐν δὲ τοῖς ἄλλοις κάλλιστόν ἐστι, μάλιστα ἐν τοῖς γενεθλίοις, σημαῖνον τὴν χθαμαλότητα καὶ τὴν καταβίβασιν τοῦ ἰδίου τόπου, καὶ μάλιστα ἐάν ἐστι τὸ γενέθλιον νυκτερινόν. καὶ ἡ Σελήνη ἐν τῷ μεσουρανοῦντι κέντρῳ, καὶ ὁ συναπτόμενος τῇ Σελήνῃ ἀστὴρ ἐν τῷ ἕκτῳ τόπῳ· πτῶσιν γὰρ πάσχει ξένην καὶ παράδοξον. παρατήρει δὲ μὴ ποιεῖν τὸν Ἄρεα ἔν τινι [κέντρῳ] τῶν κέντρων τοῦ ὡροσκόπου, ποίει δὲ τοῦτον ἢ τριγωνίζοντα ἢ τετραγωνίζοντα ἢ ἑξαγωνίζοντα τὸν ὡροσκόπον· καὶ εἰ ἔστιν εἷς τῶν δύο τεκμηριῶν, τοῦ τε κυρίου τοῦ ὡροσκόπου καὶ τοῦ ἑβδόμου, ἐν τῷ ὑψώματι αὐτοῦ, ἔστι δυνατώτερος τοῦ εἶναι αὐτὸν ἐν τῷ αὐτοῦ. καὶ ὁ ἐν τῷ οἴκῳ αὐτοῦ δυνατώτερος τοῦ ἐν τῷ τριγώνῳ αὐτοῦ. καὶ ὁ ἐν τῷ τριγώνῳ αὐτοῦ δυνατώτερος τοῦ ἐν τῷ ὁρίῳ αὐτοῦ, καὶ ὁ ἐν τῷ ὁρίῳ αὐτοῦ δυνατώτερος τοῦ ἐν τῷ προσώπῳ αὐτοῦ, ἤτοι τῷ δεκανῷ. καὶ εἰ αἱρεῖται ὁ τὴν ἐκλογὴν ποιησάμενος συγκροτῆσαι πόλεμον μετὰ τοῦ ἐναντίου, ποίησον τὸν κύριον τοῦ ὡροσκόπου βλέποντα τὸν κύριον τοῦ ἑβδόμου ἀπὸ τετραγώνου ἢ διαμέτρου· συγκροτήσουσι γὰρ ἀμφότεροι, εἰ δὲ τοῦτο οὐκ ἔστιν, οὐ συγκροτήσουσιν· εἰ δὲ ἔστι σχηματισμὸς ἀπὸ τριγώνου ἢ ἑξαγώνου, εἰρηνεύουσιν. ὅταν δὲ ποιήσῃς τὸν κύριον τοῦ δευτέρου βλέποντα τὸν κύριον τοῦ ἀποσχηματισμοῦ ἐναντίου, οἱ σύμμαχοι καὶ οἱ στρατιῶται συγκροτήσουσι τὸν πόλεμον. ὁμοίως καὶ ἐν εἰ τῷ δευτέρῳ τόπῳ εὑρήσεις ἀστέρα βλέποντα πρὸς τὸν κύριον τοῦ ἑβδόμου ἢ τὸν κύριον τοῦ ὀγδόου, ἢ ἐν τῷ ὀγδόῳ ἀστέρα βλέποντα πρὸς τὸν κύριον τοῦ ὡροσκόπου ἢ τοῦ δευτέρου, καὶ εἰ ἔστιν μεθ' ὧν προείρηται ὁ Ἄρης ἐν τῷ ὑψώματι αὐτοῦ ἢ ἐν τῷ ὑψώματι τοῦ Ἡλίου, γνῶθι ὅτι ὁ πόλεμος ἐπὶ μέγα ἀρθήσεται καὶ ἐπιδοθήσεται εἰς μνήμην. εἰ ἔσται δὲ ὁ Ἄρης ἐν ζῳδίῳ στερεῷ καὶ οὐκ ἐν κέντρῳ, ἔστιν ὁ πόλεμος ἐλάττων. εἰ δὲ ἔστιν ἐν δισώμῳ ζῳδίῳ, ὁ πόλεμος γενήσεται ἐπὶ πλεῖστον· εἰ δὲ ἐν ζῳδίῳ τροπικῷ ἐστιν, ὁ πόλεμος σφοδρὸς καὶ μέγας· εἰ δὲ ἐν τῷ οἴκῳ αὐτοῦ ἢ ἐν τῷ τριγώνῳ αὐτοῦ ἐστι, μέσος. εἰ δέ ἐστιν ἐν τῷ ταπεινώματι αὐτοῦ, οὐκ ἐπὶ μέγα ἀρθήσεται ὁ πόλεμος, καὶ τέλος λήψεται ἐν καιρῷ ὀλίγῳ. γνῶθι δὲ τοῦτο ἀπό τε τῆς ἀσθενείας τοῦ Ἄρεως καὶ τῆς δυνάμεως αὐτοῦ.

---

1 *κάλλιστα* S 8 *κέντρῳ* seclusi 10 *ἐκ τῶν δύο* S
18 *τετραγωνισμοῦ* S 21 *ποιήσῃ* S 29 *ἐλάττωνι* S

25. *Περὶ τῶν τεκμηρίων τοῦ πολέμου.*

Ὅταν τὸ τεκμήριον τῆς καταρχῆς τοῦ πολέμου ἔστιν ὁ Κ ρ ό ν ο ς, γίνωσκε ὅτι τέλος λήψεται ἐν ἀγῶνι καὶ δόλῳ καὶ βραδυτῆτι καὶ μακροημερίᾳ. εἰ δὲ ἔστιν ὁ Ζ ε ύ ς, ἐν ἀγῶνι καὶ μεγαλοπρεπείᾳ. εἰ δὲ ἔστιν ὁ Ἄ ρ η ς, ἐν αἱματοχυσίᾳ καὶ φόνῳ καὶ πολέμῳ. εἰ δὲ ὁ Ἥ λ ι ο ς, ἐν βασιλεῦσι καὶ μεγιστάνοις. εἰ δὲ ἔστιν ἡ Ἀ φ ρ ο δ ί τ η, ἐν καλλωπισμῷ καὶ μακροθυμίᾳ καὶ εὐκολίᾳ. εἰ δὲ ὁ Ἑ ρ μ ῆ ς, ἐν πανουργήμασι καὶ δελεάσμασιν. εἰ δὲ ἡ Σ ε λ ή ν η, ἐν ἀποστολαῖς καὶ κατασκόποις καὶ κατὰ τὸν τόπον τῆς Σελήνης.

26. *Π ε ρ ὶ τ ο ῦ τ έ λ ο υ ς τ ο ῦ π ο λ έ μ ο υ· κ α ὶ ο ἱ κ α ι ρ ο ὶ α ὐ τ ο ῦ.*

Δεῖ οὖν σε σκοπῆσαι τοὺς τρεῖς ἀνωτέρους, καί, εἰ ὀρθοποδίζουσιν, λυθήσεται ὁ πόλεμος, ὅταν ὑποποδίζωσιν. εἰ δὲ ὑποποδίζουσιν, λυθήσεται ὁ πόλεμος, ὅταν ὀρθοποδίζωσιν. καὶ εἰ δυτικοὶ εὑρεθήσονται, λυθήσεται ὁ πόλεμος, ὅταν ἀνατολικοὶ γενήσονται ἢ μεταβαίνοντες ἀπὸ ζῳδίου εἰς ζῴδιον, εἰς ἃ <κατὰ> τὴν καταρχὴν τοῦ πολέμου εὑρέθησαν· τότε γὰρ τέλος λήψεται ὁ πόλεμος. γίνωσκε δὲ ὅτι ὅταν οἱ ἀνώτεροι ἀστέρες ἀλλάσσωσι τοὺς σχηματισμοὺς αὐτῶν, τότε ἔσται ὁ καιρὸς τῆς καταπαύσεως τοῦ πολέμου.

Ἐγὼ δὲ μνείαν ἐποιησάμην τοῦ Π ο υ γ χ ὰ ρ † ἐφελκον † περί τινων τοῦ πολέμου ὑποθέσεων· καὶ ἐξεῖπέν μοι ὅτι ὅταν εὕρῃς ἐν τῷ καιρῷ τῆς εἰς τὸν πόλεμον ἐξελεύσεως τὸν κύριον τοῦ ἐννάτου ἐν τῷ ὡροσκόπῳ, γίνωσκε κατάσκοπον εἶναι ἐν τῷ στρατῷ ἀπὸ τῶν ἐναντίων. εἶπεν δὲ ὅτι ὅταν εὑρεθῇ ἡ Σελήνη ἐν τῷ ὡροσκόπῳ ἢ ἡ Σελήνη ἐν τῷ ἑβδόμῳ, ὁ ἀπερχόμενος εἰς τὸν πόλεμον καὶ ὁ τὴν προκάταρξιν ποιησάμενος πάντως σφαγήσεται.

Ἐξεῖπέ μοι καὶ ὁ Ἀ β ρ ά μ ι ο ς, ὁ τοῦ Ἔσρα τοῦ Ἱσπανοῦ (1), *ὅτι· γίνωσκε <ὅτι> ὁ ἀπερχόμενος εἰς τὸν πόλεμον τῆς*

Cap. 25 S, f. 201v. 8 *πανουργεύμασι* S
Cap. 26 : S., f. 202v. 12 *ὀρθοποδίζουσιν* S 15 *κατὰ* addidi
22 *κ. ἐστιν* S 27 *ὅτι* addidi

---

(1) Abraham ben Ezra natus est Toleti in Hispania circa a. 1089, obiit a. 1167 p. C. n. Cf. Raphael Levy, *The astrol. works of Abraham ibn Ezra*, Baltimore, 1927, p. 7. — Itaque apparet hoc excerptum non ante saeculum XII conscriptum esse.

Σελήνης οὔσης μετὰ τοῦ Ἄρεως ἢ σφαγήσεται ἢ τὴν χεῖρα τμηθήσεται. εἶπε δὲ καὶ τοῦτο, ὅτι · παρατήρει καὶ πρόσεχε, ἵνα μὴ ποιήσῃς τὴν Σελήνην ἐν τῷ ὡροσκόπῳ · αἰσχυνθήσεται γὰρ ὁ τοιοῦτος.

Ἐξεῖπέ μοι καὶ ὁ υἱὸς τοῦ Τέσκερι, ὁ μαθητὴς τοῦ χαλιφᾶ · γίνωσκε συμβουλῆς γενομένης τῆς μάχης, οὔσης τῆς Σελήνης συνοδευούσης τῷ Ἄρει, τρόμος καὶ φόβος ἐπιπεσεῖται τῷ στρατῷ · εἰ δὲ Σελήνης συνοδευούσης τῷ καταβιβάζοντι, ἐπιπεσεῖται τοῖς στρατεύμασι φόβος καὶ ταραχή. συμβουλῆς δὲ γενομένης τῆς Σελήνης οὔσης μετὰ τοῦ Κρόνου, γίνεται σκότος καὶ ταραχὴ καὶ κονιορτὸς καὶ ἄνεμος σφοδρός.

Ἐλπίζω οὖν, εὐσεβέστατε καὶ θειότατε βασιλεῦ, ὡς ἐκ τούτων τῶν ἀριθμημένων τρόπων ἵνα ἔχῃ ἡ βασιλεία ὄνησιν · μέθοδοι γάρ εἰσιν ἐπωφελεῖς καὶ τρόποι σφοδροὶ καὶ ἀναγκαῖοι. ἐπίστησον οὖν αὐτοῖς καὶ τῇ θεωρίᾳ τὸν νοῦν κατασφάλισον · ἐπευστόχως γὰρ ποιήσεις, καὶ οὐκ ἀστοχήσεις.

27. *Περὶ τοῦ γνῶναι εἰ ζῇ ἢ ἀπέθανεν, κατὰ Θεόφιλον ἐκ τοῦ ὡροσκόπου καὶ τοῦ κυρίου αὐτοῦ καὶ ἐκ τῆς προαναφορᾶς τοῦ ὡροσκόπου.*

Ἐὰν ὁ τοῦ ὡροσκόπου κύριος ᾖ ἐν τῷ δωδεκάτῳ ἐν ὁρίοις κακοποιοῦ ἢ σὺν κακοποιῷ ἢ ὑπ' αὐτοῦ κακοποιοῦ βλαπτόμενος, πρὸς τοῦτο δὴ τὸ σχῆμα καὶ αὐτὰ τὰ φῶτα κακούμενα σὺν τῷ κλήρῳ τῆς Τύχης ἢ οἰκοδεσπόταις αὐτῶν, λέγε τὸν τοιοῦτον ἤδη τεθνᾶναι.

Ἀστὴρ ἄλλως. <ὁ> τῆς προγενομένης συζυγίας κύριος ἀπόστροφος ὢν τοῦ ὡροσκόπου εἰ, ἐν τῷ συζυγιακῷ τόπῳ καὶ ὑπὸ κακοποιῶν μαρτυρηθῇ, θάνατον σημαίνει.

---

8 *Σελήνη συνοδευούση* S.

Cap. 27. S, f. 230ᵛ et 233ᵛ, p, f. 112, qui ll. 12-19 tantum exhibet praeter titulum. 17 *γνῶναι* S, *γον* P *ἢ ζῇ* P 18 *κατὰ Θεόφιλον* om. S *ἀπὸ τοῦ* P 19 *ἀναφορᾶς* S, f. 233ᵛ 23 *δὲ* S *τῷ κυκλ* (*κλ* supra lin.) *τῆς Τύχης* S 24 *οἰκοδεσπόται* S, sed *ἢ οἰκοδεσπόται αὐτῶν κακοῦνται* S, f. 233ᵛ. 25 *Ἀστὴρ* deest in S, p. 230, l. 1, 3. An delendum ? *ὁ* addidi *προγεγενημένης* S, f. 233ᵛ *συζύγου* S, f. 233ᵛ 26 *εἰ ἐν ἢ* S

Ἀστήρ ἄλλως. ὁ κλῆρος τῆς Τύχης μετὰ κακοποιοῦ ἐν τῷ ὑπογείου τυχών, τῶν καλοποιῶν ἀπεστραμμένων, θάνατον σημαίνει. ὡσαύτως καὶ ἐν τῷ κακοδαιμονήματι καὶ ἐν τῇ κακῇ Τύχῃ.

Ἀστὴρ· ἄλλως. ἴδε τὰ κέντρα καὶ τὰς τούτων προαναφορὰς καὶ τοὺς φωστῆρας μετὰ τοῦ κλήρου τῆς Τύχης καὶ τοὺς τούτων οἰκοδεσπότας ἐὰν ἐπίκεντροι ὦσιν, ἢ ἀποκεκλίκασι τῶν κέντρων (ἢ οἱ πλείους αὐτῶν), ἢ καὶ ἐν ὁρίοις εἰσὶ κακοποιῶν, ἢ καὶ ὑπ' αὐτῶν διαμηκίζονται ἢ καὶ τετραγωνίζονται, ἢ καὶ τὰ δωδεκατημόρια αὐτῶν ἐν ὁρίοις κακοποιῶν πεπτώκασι. πρὸς οἷς δὲ καὶ τῆς προγενομένης συζυγίας τὸν ὁριοκράτορα χρὴ σκέπτεσθαι, καὶ ποίου ἀστέρος ἀπέρρευσεν ἡ Σελήνη, καὶ πρὸ πεντήκοντα ἡμερῶν ποῦ ἦν. καὶ ἐὰν οὗτοι πάλιν συναποκεκλίκασι, λέγε αὐτὸν τεθνᾶναι· εἰ δὲ καὶ ἐναντίως ἔχει τὰ προειρημένα, μὴ λέγε αὐτὸν τεθνᾶναι.

28. *Καταρχὴ πολεμική.*

Ἐάν τις πολέμου ἄρξηται, φησὶν ὁ Θεόφιλος, ἢ ἐπιστρατείας, ἢ καὶ ἐρώτησις γένηται περὶ τούτου, σκέψαι οὕτως. τὸν μὲν ἐναρξάμενον ἐκ τοῦ ὡροσκόπου, τὸν δὲ πολεμούμενον ἢ καταστρατευόμενον ἐκ τοῦ δύνοντος. καὶ ἐὰν μέντοι στερεὸν ζῴδιον ἐπισκοπῇ, ἐπίμονος ἔσται ὁ πόλεμος ἢ καὶ ἡ ἐπιστρατεία· ἐὰν δὲ δίσωμον, εἰς μεταμέλον ἔρχεται ὁ παρατασσόμενος, καὶ ἀφ' ἑαυτοῦ εἰς ἕτερον μεταβαίνει πρᾶγμα· ἐὰν δὲ τροπικὸν ᾖ τὸ ὡροσκοποῦν ζῴδιον, ἀτελὲς ἔσται αὐτοῦ τὸ ἐπιχείρημα.

---

4 *Ἀστὴρ ἄλλως* deest in P 5 *τοῦ κύκλου* S 6 *ἐὰν* S, f. 230ᵛ, *καὶ ἐὰν* S, f. 233ᵛ. *καὶ εἰ εἰσὶν ἐπικ.* P *ἢ ἀποκεκλ.-κέντρων* om. P 7 *εἰσὶ* S, *ὑπάρχωσι* P *τῶν κακοποιῶν* P 8 *ἐπ' αὐτοῖς διακομίζονται* P, *διαμυκίζονται* et *τετραγωνίζονται* S, f. 230ᵛ 9 *τῆς* om. P 10 *προγεγενημένης* S 11 *ποίῳ ἀστέρι* S, f. 230ᵛ *ν'* S, *τριῶν* P *ἡμερῶν* per symbolum S, *ἡμερῶν καὶ νυκτῶν* P 12 *ἀποκεκλίκασι* P Cap. 28. A, f. 337ᵛ; P, f. 108ᵛ; p, f. 4; S, f. 242. *Περὶ πολέμου* P 16 *πόλεμον* ApS *φησὶν ὁ Θεόφιλος* unus exhibet P *ἐπιστρατείαν* ApS 17 *ἢ καὶ* ApS, *ἡ εἰ* P *γένοιτο* A 18 *ἀρξάμενον* P 19 *δύντος* AS *μέντοι* pS, *μὲν* A, *μήτε* P *ἐπισκεπῇ* S 20 *ἢ καὶ ἡ* A, *καὶ ἡ* S, *ἢ ἡ* P, *ἢ* p *δὲ* om. P 21 *μετάμελλον* S *εἰς ἕτερον μεταβαίνει πρᾶγμα* P, *εἰς ἑ. π. μεταβήσεται* p 22 *δὲ* om. Pp

Ἡ δὲ πρᾶξις τοῦ πολέμου γνωρίζεται ἐκ τοῦ μεσουρανήματος καὶ τῶν ἐπόντων καὶ ἐπιμαρτυρούντων ἀστέρων. ἐὰν κακοποιοὶ καὶ καλοποιοὶ ἅμα λόγον ἔχωσι πρὸς τὸ μεσουρανοῦν, ἄστατος ἔσται ἡ νίκη καὶ ἡ ἧττα ἀμφοτέροις τοῖς μέρεσιν. ἀγαθοποιοὶ δὲ λόγον ἔχοντες πρὸς τὸν ὡροσκόπον καὶ τὸ μεσουρανοῦν· εἰς τὸν διώκοντα ῥέψει, ἡνίκα ῥέψῃ, ἡ νίκη, ἡ δὲ ἧττα πρὸς τὸν φεύγοντα. εἰ δὲ οἱ ἀγαθοποιοὶ λόγον ἔχωσι πρὸς τὸ δῦνον καὶ τὸ μεσουρανοῦν, ἡ νίκη πρὸς τὸν φεύγοντα ῥέψει. καὶ αὖθις ἐὰν μέντοι τις τῶν ἑκατέρων μερῶν, ἤτοι τοῦ ὡροσκόπου καὶ τοῦ δύνοντος, λόγον ἔχῃ πρὸς τὸ μεσουράνημα μετὰ καλῆς μαρτυρίας, εἰς αὐτὸν ἡ νίκη ῥέψει. βοηθοὺς μέντοι ἕξουσιν ἀπὸ μὲν τῆς ἐπαναφορᾶς τοῦ ὡροσκόπου ὁ διώκων, ἀπὸ δὲ τοῦ ὀγδόου τόπου ὁ φεύγων. τοῦ δὲ δευτέρου τόπου οἱ οἰκοδεσπόται καλῶς κείμενοι καὶ καλοποιοὶ ἑπόντες τῷ τόπῳ ἢ ἐφορῶντες αὐτόν· εὐνουστάτους καὶ εὐμενεῖς συνασπιστὰς ἕξει ὁ διώκων. ὡσαύτως καὶ τοῦ ὀγδόου τόπου οἱ οἰκοδεσπόται τὴν αὐτὴν θέσιν ἔχοντες· ὁ φεύγων ἀγαθοὺς ἕξει τοὺς βοηθούς. ὁμοίως δὲ καὶ κατὰ τὴν ἐναντίαν θέσιν ὄντες ἀμφοτέρων τῶν τόπων οἱ κύριοι τὰ ἐναντία σημαίνουσιν. καὶ ἐὰν ὁ τοῦ μεσουρανήματος δεσπότης ἐπιβλέπῃ τὸν δεύτερον τόπον, εἰ τύχῃ οἰκεῖος αὐτοῦ, ὁ διώκων νικήσει· εἰ δὲ ἐπὶ τοῦ ὀγδόου τόπου ἔστὼς ἢ ὁ οἰκεῖος αὐτοῦ

μεσουρανήματος S, tot. litteris, μεσουρανοῦντος P, μεσουρανοῦ p, per compendium A 2 ἐπόντων ἢ pSP 2-3 κακοπ(οιὸς καὶ καλοποιὸς P 3 ἅμα λόγον APp, ἀκάλωτον S σχῶσι S 4 ἧττα AP, διττὰ Sp ἀμφοτέροις δὲ p ἀγαθοποιεῖ p 5 ὡροσκόπον PSp tot. litteris, compend. A μεσουρανοῦν PS, μεσορανοῦν p, compend. A 6 ῥέψει - ἧττα S ; ἡνίκα ῥέψῃ om. A ῥέψει ἡ νίκη ἤγουν ἡ ἧττα P, ῥέψει ἡ νίκη ἡ δὲ ἧττα p, 7 οἱ δ' οἱ ἀγαθ. p ἔχωσι Pp, σχῶσι S, ἔχουσι A μεσουρανοῦν pS, compend. A, μεσουράνημα P 8 αὖθις om. P 9 δύνοντος λόγοντος p 10 μεσουρανοῦν p 11 βοηθοὶ S μέντοι P, μὲν pAS μὲν om. P ἀναφορᾶς APp 12 ὁ διώκων ASp, ὁ δύνων P δὲ om. P τοῦ δὲ ἑτέρου P, τοῦ δ' ἑτέρου p 13 ὁ οἰκοδεσπότης P καλοποιοὶ] in hoc verbum desinit caput in P, ubi interpositum est caput Ἄλλως τοῦ αὐτοῦ περὶ τῶν πολιορκουμένων πόλεων ἐπὼν S, ἔπων p ἀπὼν P 14 ἐφορῶν Pp, εὐφορῶν S εὐρουστάτους S 16 τὸν φεύγοντα P ἕξειν δηλοῦσιν P 17 ὄντες P, ὄντων Ap τῶν S τῶν om. S 18 μεσουρανήματος per compendium cett., κυρίου S 19 τύχει P, τύχοι Ap αὐτὸν p οἰκεῖος A οἰκείως Sp ; οἰκεία P et l. 20 τοῦ om. P 20 ὁ, οἰκεῖος P ; per compend. cett., οἰκείως S

ἢ καὶ ὁ δύνων, ὁ φεύγων νικήσει. ἐὰν δὲ ἡ Σελήνη ἀπορρεύσῃ ἑνὸς τῶν τοῦ ὡροσκόπου οἰκοδεσποτῶν ἢ συνάψῃ τινὶ τούτων, ἡ νίκη πρὸς τὸν διώκοντα ῥέψει. εἰ δὲ τοῦ μὲν ἑνὸς τῶν κυρίων τοῦ ὡροσκόπου ἀπορρεύσει, συνάπτει δέ τινι τῶν τοῦ δύνοντος δεσποτῶν, ὁ φεύγων νικήσει. ὁμοίως δὲ καὶ ἐπὶ τῶν τοῦ δύνοντος δεσποτῶν τοῦτο νόει. ἔτι οὖν Σελήνη αὐξιφωτοῦσα τὸν ἐπιστρατευόμενον σημαίνει, καὶ Ἥλιος τὸν ἀντιστρατευόμενον. ἐὰν δὲ ἀποκρουστική ἐστιν ἢ λειψιφωτεῖ, αὕτη μέν ἐστι τῷ ἀντιστρατευομένῳ. καὶ ἐὰν μέντοι ὁ Ἥλιος καλὴν ἔχῃ θέσιν καὶ ὑπὸ καλοποιῶν μαρτυρῆται, ἐκεῖνος νικήσει, ὃν σημαίνει ὁ Ἥλιος · ἐὰν δὲ ἡ Σελήνη ἐπὶ ἀγαθῶν τόπων ἕστηκε, καὶ ὑπὸ ἀγαθοποιοῦ ἐπιτηρεῖται, ἐκεῖνος νικήσει, ὃν σημαίνει ἡ Σελήνη. Σκέπτου δὲ καὶ τὸν κλῆρον τῆς Τύχης τὸν κατ' ἐκείνην τὴν ὥραν, καὶ ἐὰν τῷ ὡροσκόπῳ προσνεύσῃ, ἤτοι ἐν τῷ ἀπηλιωτικῷ μέρει ὑπάρχῃ αὐτὸς ἢ ὁ κύριος αὐτοῦ, ὁ ἐπιστρατευόμενος νικήσει. εἰ δὲ ἐν τῷ δύνοντι προσνεύσῃ ἡ Τύχη ἢ ὁ κύριος αὐτῆς, ἢ εὑρεθῇ ἐν τοῖς λιβικοῖς μέρεσιν, ὁ ἀντιστρατευόμενος νικήσει. εἰ δὲ καὶ ὑπὸ γῆν εὑρεθῇ ὁ τοῦ κλήρου τῆς Τύχης δεσπότης, λύσις ἔσται τοῦ πολέμου, καὶ διαλλαγὴ ἔσται μεταξὺ τῶν ἀμφοτέρων μερῶν. ἐὰν δὲ ἐν τῷ μεσουρανήματι εὑρεθῇ ὁ κλῆρος τῆς Τύχης, ταχεῖαν τὴν λύσιν τοῦ πολέμου ἔσεσθαι σημαίνει.

Ὁ Ἥλιος ἢ ἡ Σελήνη ἐπέχοντες τὸ μεσουράνημα φανερὰν καὶ

---

1 ἢ καὶ p καὶ P, εἴη καὶ S, ἔστιν ἢ καὶ A δὲ om. Pp 2 δεσποτῶν APp 4 καὶ συνάψῃ SP τοῦ δύνοντος δεσπότου τὸν τοῦ p τῶν om. S ἐπὶ τοὺς δύνοντας δεσπότας P, τοῦ δύνοντος δεσπότου pS 6 ἔτι οὖν ASp, ἔστιν οὖν P Σελήνη cett., καὶ P ἐπιστρατεύοντα P 7 ἀντιστρατεύοντα P δὲ om. pA 8 ἐστιν om. S ; ἢ Pp λειψιφωτιεῖ Sp, λειψιφωτοῦσα P αὕτη cett., αὐτὸν P ἔσται APp ἀντιστρατεύοντι P ἐὰν μὲν P 9 καλὴν Pp, κακὴν AS καλῶν Pp μαρτυρήσῃ p 10 ἐπὶ S, ὑπὸ cett. ἀγαθοποιῶν P 11 ἀγαθοῦ μαρτυρεῖται Ap, ἀγαθοποιοῦ μαρτυρεῖται P ἐκεῖνο p 12 σκέπου p, σκόπει P 14 ὑπάρχων PS ἢ om. S 15 ἐπιστρατεύων P ἐν P, om. cett. προσνεύσοι A 16 εὑρεθείη p λιβιτικοῖς S ἀντιστρατεύων P 17 εὑρεθείη Pp 18 τῆς Τύχης om. A ἐστι P διαλλαγὴ μεταξὺ P 19 ἀμφοτέρων τῶν μερῶν P μεσουρανοῦντι Sp 20 ὁ unus exhibet P, 22 ἡλίου ἡ καὶ Σελήνης p τῷ μεσουρανήματι P, correct. e μάρτυρος A, τὸ τοῦ μάρτυρος p

περιβόητον τὴν νίκην τοῦ βασιλέως σημαίνουσιν ἢ τοῖς αὐτοῦ στρατοπέδοις. ἐν δὲ τῷ δύνοντι τυγχάνοντα τὰ φῶτα ἢ ἀγαθοποιοὶ ἐπόντες, νίκην προσαγορεύουσι τῷ ἀντιστρατευομένῳ. οἱ καλοποιοὶ ὑπὸ γῆν ὄντες ἧτταν τῷ ἀντιστρατευομένῳ διὰ δόλου καὶ ἀδικίας σημαίνουσι · καλοποιοὶ δὲ ἐπόντες ἐν τῷ ὑπὸ γῆν κέντρῳ · δικαίως ἡττηθήσεται ὁ ἐπιστρατευόμενος.

Καὶ οὕτως μὲν ὁ Θεόφιλος. ἡμεῖς δὲ λέγομεν ὅτι πρὸς τούταις χρὴ σκοπεῖν καὶ τοὺς ἀγαθοποιοὺς καὶ τοὺς κακοποιούς. καὶ εἰ μὲν εὑρεθῇ ἀγαθοποιὸς ἐν τῷ ὡροσκόπῳ, δηλοῖ νίκην τῷ ἐπιστρατεύοντι, ἐὰν δὲ ἀγαθοποιὸς εὑρεθῇ ἐν τῷ δύνοντι, τὴν ἧτταν σημαίνει.

Καὶ πάλιν φησὶν ὁ Θεόφιλος, ὅτι τοῦ Ταύρου ἀνατέλλοντος ἐν ταῖς νυκτεριναῖς καταρχαῖς ἢ ἐρωτήσεσιν ἐν τοῖς θηλυκοῖς ζῳδίοις, δηλοῖ νίκας τῷ ἐπιστρατεύοντι · εἰ δὲ κακοποιός, ἧτταν σημαίνει. ὅταν δὲ ἐν τῷ ἐρωτήματι εὑρεθῇ ὁ κύριος τοῦ ὡροσκόπου ὑποποδισμένος, δηλοῖ ἀδυναμίαν καὶ τροπὴν τῶν ἐπιστρατευόντων. ὅταν δὲ εὑρεθῇ ὁ κύριος τοῦ δύνοντος, δηλοῖ τὰ αὐτὰ τῷ ἀντιστρατεύοντι. καὶ χρὴ τὸν ἐπιστήμονα συγκιρνᾶν τοὺς σχηματισμούς, καὶ εἰς ὃν ἂν εὕρῃ τὰς ἀγαθὰς μαρτυρίας πλείονας, εἰς τοῦτον λέγειν τὴν νίκην ῥέπειν. χρὴ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι τῶν καλοποιῶν ἐν τῷ ὑπογείῳ κέντρῳ εὑρισκομένων, δηλοῖ πολλὴν τὴν σφαγήν. ἀγαθῆς δὲ θεωρίας οὔσης ἐν μέσῳ τοῦ κυρίου τοῦ ὡροσκόπου καὶ τοῦ κυρίου τοῦ δύνοντος, δηλοῖ εἰρήνην, καὶ τὸν πρωτεύοντα τῶν δύο τούτων περὶ τὴν θεωρίαν σημαίνει ζητεῖν εἰρήνην.

29. Περὶ τῶν τεττάρων κέντρων καὶ συσχηματισμῶν καὶ ἐπαναφορῶν καὶ τόπων καὶ μοιρῶν ἑκάστου.

Κρόνος ὡροσκοπῶν Δία τὸν στρατηγὸν ἀναιρεῖ, καὶ τὸν στρατὸν

---

1 *σημαίνει* P *τῶν αὐτοῦ στρατοπέδων* P 2 *τυγχάνοντες* S 3 *ἔποντες* p *προσαγορεύοντες* S, *προσάγουσι* Ap, *προσσημαίνουσι* P *ἀντιστρατεύουσι* P, *στρατευομένῳ* S 4 *ἧττον* P *δόλον καὶ ἀδικίαν* omisso *διά* Ap *διὰ δ. κ. ἀδικίας* P, *καὶ ἀδικίας πολλὰς* S, omisso *δόλον* et *διά* 5 *σημαίνει* P *κ. διέποντες* P 6 *ἀντιστρατεύων* P 7-24 unus exhibet P 10 *τὸν ἧττον* P 21 *πολλὴν ὅτι* P Cap. 29. AS ; p, f. 5. Titulum exhibet Ap, om. S 28 *Δία* (per comp.) *δὲ* p

ταπεινοῖ, καὶ ὑπὸ τῶν ἐχθρῶν καταδυναστευόμενον ποιεῖ. Κρόνος δὲ ὡροσκοπῶν Ἄρεα μετὰ Σελήνης, Διὸς μὴ ἐφορῶντος, ἀδίκους καὶ ἅρπαγας σημαίνει τοὺς ἡγεμόνας. Κρόνος ἐν ἰδίῳ τόπῳ συναιρέτης τοῦ ὡροσκόπου ἀγαθὴν καὶ εὐτυχῆ τὴν ἐπιστρατείαν σημαίνει· καὶ γὰρ νίκην καὶ σκῦλα παρέχει· εἰ δὲ καὶ ἐν Σελήνης καὶ Ἑρμοῦ τόποις ὑπάρχῃ, βλάπτει τὸν στρατόν. κόπους γὰρ καὶ σκυλμοὺς παρέχει μετὰ πολλοῦ ὄκνου καὶ ῥᾳθυμίας. Κρόνος ὡροσκοπῶν, Ἀφροδίτης δυνούσης, ὄλεθρον σημαίνει τοῖς ἐπιστρατευομένοις. Κρόνος μεσουρανῶν τὰ αὐτὰ παρέχει ἃ καὶ ὡροσκοπῶν καὶ μάλιστα παρ' αἱρεσιν γενόμενος· καὶ ἐν ἑτέρῳ μὲν ζῳδίῳ τυγχάνων βεβαίαν τὴν κάκωσιν παρέχει, ἐν δὲ δισώμῳ κακώσας πάλιν ἀνασφήλῃ. Κρόνος μεσουρανῶν, δύνοντος αὐτοῦ τοῦ Ἄρεως, πρόδηλον σφαγὴν σημαίνει τοῖς ἐπιστρατεύσασιν, ἐὰν μή τις ἀγαθοποιὸς ᾖ ἐν τῷ ὡροσκόπῳ. Κρόνος ἐν τῷ δύνοντι καὶ τοῖς ἀντιστρατευομένοις καὶ τοῖς αὐτῶν συνασπισταῖς λυπηρός, καὶ κινδύνους ἐκ ποταμῶν ἢ ἀφ' ὑγρῶν τινων ὄχλησιν ἢ ψύξιν παρέχει· πλὴν ἐχθροὺς ἐφέψονται. Κρόνος μετὰ Ἀφροδίτης δύνων μαλακωτέρους καὶ θηλυκοψύχους καὶ ἀπράκτους ποιεῖ τοὺς στρατιώτας. Κρόνος μετὰ Ἑρμοῦ δύνων τοὺς βοηθοὺς τῶν ἐπιστρατευομένων καὶ τὰ κτήματα αὐτῶν κακῶς διατίθησιν, καὶ τὴν εὐτυχίαν ἐλαττοῖ. Ζεὺς ὡροσκοπῶν εὐτυχίαν καὶ ὁμόνοιαν σημαίνει τοῖς ἐπιστρατευομένοις, τοὺς δὲ ἡγεμόνας ἀνδρειοτάτους καὶ εὐθαρσεῖς καθίστησι. Ζεὺς ὡροσκοπῶν ἐν ἀρσενικῷ ζῳδίῳ ἐπανδροτέρους καὶ δραστικοτέρους ἡγεμόνας καθίστησι. Ζεὺς ὡροσκοπῶν ἐν δισώμῳ ὑπὸ δύο στρατηγῶν διοικεῖσθαι τὸ στρατόπεδον δηλοῖ. Ζεὺς ὡροσκοπῶν, Κρόνου δύνοντος, τὸν στρατηγὸν ἀναιρεῖ, καὶ

---

1 *Κρόνου ὡροσκόπου Ἄρεως δὲ* p 2 *Ζεὺς μὴ* p *εὐφορῶντος* S 4 *συναιρετίστου* S, *συναίρεσις τοῦ* pA *ἐπιστασίαν* pA 5 *Ἑρμοῦ*, omisso *καί*, S, *καὶ Ἑρμῆς* p *ὑπάρχων* pS 6 *ὡροσκόπου* p 7 *καὶ Ἀφρ.* Ap 8 *Κρόνου μεσουρανοῦντος* p *ὡροσκόπου* p, *ὡρῶν* S 9 *παραίρεσιν* AS, *παραίνεσιν* p *γενόμενος - ζῳδίῳ* om. p in textu, nonnulla exhibet in mg. 11 *ἀνασφήλει* mss. *Κρόνου μεσουρανοῦντος δύνον* p *αὐτοῦ* om. A 12 *ἐνστρατεύσασιν* Ap *μήτε* S 13 *Κρόνου* p *ἐπιστρατευομένοις* S 14 *αὐτοῖς* SA 15 *ὕλλησιν* S 16 *ἐφόψονται* S, *ἐπόψονται* Ap *Κρόνου* p 17 *ἀτάκτους* Ap 20 *ὡροσκόπου* p 22 *Ζεὺς μετὰ ὡροσκόπου* pA *ἐὰν ἀρσ.* S 23 *Ζεὺς μετὰ ὡροσκόπου* pA 25 *ὡροσκόπου* p *καὶ Κρόνου* Ap

τὸν βασιλέα βλάπτει, ἐχθροὺς δὲ ἐφέψεσθαι τοὺς στρατιώτας σημαίνει.

Τοῦ δὲ Διὸς οὕτως ἐστῶτος, εἰ ἐπαναφέρεται καὶ ὁ Ἄρης ἢ ἐπιδεκατεύει αὐτόν, ἐλαττοῖ τὴν εὐτυχίαν, πλὴν περιγενέσθαι τῶν ἐχθρῶν ποιεῖ. Ζεὺς μεσουρανῶν αὔξει τὴν νίκην, καὶ τοὺς στρατηγοὺς εὐμενεῖς τῷ στρατῷ καθίστησι. Ζεὺς μεσουρανῶν καὶ ὑπὸ Ἄρεως κατοπτευόμενος,ἀπὸ οἰκείου ἢ καλοῦ τόπου μαρτυρούμενος, αὔξει τὰς νίκας καὶ τὰς ἐπικαρπίας. Ζεὺς δύνων καὶ ἔχων λόγον πρὸς τὸν ὡροσκόπον τὰ τέλη τῆς ἐπιστρατείας κρείττω τῆς ἀρχῆς ποιεῖ. εἰ δὲ καὶ φθοροποιὸς συμπαρῇ, ἐνισχύει τοὺς ἀντιστρατευομένους καὶ θραῦσιν ποιεῖ τῶν ἐπιστρατευομένων.Ζεὺς μεσουρανῶν καὶ ὑπὸ Ἄρεως κατοπτευόμενος ἀπὸ οἰκείου τόπου ἔνδοξον καὶ εὐτυχῆ ποιεῖ τὴν ἐπιστρατείαν. Ζεὺς δύνων ἅμα κακοποιῷ κινδύνους καὶ ἐπιβουλὰς φέρει τῷ στρατοπέδῳ. Ζεὺς δύνων ἐν τροπικῷ ζῳδίῳ τροπὴν σημαίνει τῷ βασιλεῖ τυραννήσαντι. Ζεὺς δύνων καὶ ὑπὸ Ἀφροδίτης κατοπτευόμενος, καὶ μαρτυρούντων Ἑρμοῦ καὶ Ἄρεως · ἐπιβουλὴν ἕξει τὸ στρατόπεδον. Ζεὺς δύνων καὶ Σελήνην ἐπισκοπῶν · οὐκ ἐπιτεύξεται ὁ ἐπιστρατευόμενος λείας οὐδέ τινος τῶν ἐπιτηδείων. Ζεὺς δύνων, Ἀφροδίτης ὡροσκοπούσης καὶ ἐφορωμένης ὑπὸ τῆς Σελήνης, προφυλακὴν ἔσεσθαι καὶ σωτηρίαν τοῦ στρατοῦ σημαίνει. Ζεὺς ὑπὸ γῆν, Ἄρεως μεσουρανοῦντος · ἐξ ἀπορρήτων τῷ στρατῷ ἡ ἀμφιλάφεια γενήσεται · ποιεῖ δὲ καὶ τοὺς φίλους ἐχθρούς, νίκην δὲ μετὰ χρόνον ποιήσει τῷ ἐπιστρατευομένῳ. Ζεὺς ὅπου ὁ Κρόνος ἐστὶ ἐν τῇ καταρχῇ ἐρχόμενος, προυπαρχούσης λύπης κουφισμὸν παρέχει. Ζεὺς ἐπὶ Ἄρεως τόπον ἐρχόμενος, ἀγαθός, καὶ χάριν καὶ πρᾶξιν παρέχει τῷ στρατῷ, καὶ τοὺς ἐχθροὺς ὑποχειρίους ποιεῖ, καὶ αὔξει τὰ ἀγαθά.

Ἄρης ὡροσκοπῶν ἐν ἀρσενικῷ ζῳδίῳ ἐπὶ ἡμερινῆς καταρχῆς καὶ πολεμικῆς πίρας πολέμου παρέχει καὶ σύντομον ἐπαγωγήν, καὶ ὑπὸ

---

1 ἐπόψεσθαι ApS ποιεῖ τοὺς p σημαίνει om Ap 3 δὲ Ζεὺς p εἰ om. ASp δ' ὁ Ἄρης p 4 ἐπιδεκατευόμενοι p, ἐπιδεκατευόμενος A 5 τὸν ἐχθρὸν S μεσουρανοῦν p αὔξοι p 6 μεσουρανὸν p 7 καὶ καλοῦ AS μαρτυρήσει pAS 8 ἐπικαρπίας . l.eg. ἐπικρατείας ? 9 ἐπικρατείας codd., et l. 13 ἐπικράτειαν 11 θρασιν p 14 δύνων om. S 15 τῶν τῷ βασιλεῖ τυραννευσάντων pA 16 μαρτυροῦντος Sp Ἑρμῇ p 17 Ἄρεως, omisso καί S ; καὶ Ἄρη p 18 καὶ Σελήνης ὡροσκόπου p ; an καὶ Σελήνης ὡροσκοπούσης (in AS compend). λίας p 19 τινι S Ἀφροδίτης ὡροσκόπου p 21 τοῦ λαοῦ S 24 ἐστὶ om. S ἐν om. p, ἐν τῇ om. A 26 καὶ πρᾶξιν καὶ χάριν p 28 ἐν om. S πεῖραν πολέμων p πείρας πόλεμον cett.

μὲν Κρόνου ὁρώμενος κίνδυνον ἕτοιμον παρέχει τῷ ἐπιστρατευομένῳ, ὑπὸ δὲ Διὸς μαρτυρούμενος νίκην λαμπρὰν μετὰ κόπου. Ἄρης ὡροσκοπῶν, Ἡλίου καὶ Σελήνης δυνόντων, ἢ τοῦ μὲν ἑνὸς δύνοντος, τοῦ δὲ ἑτέρου ὑπὸ γῆν ὄντος, τοῦ Διὸς ἀποστρόφου αὐτῶν ὄντος, βιοθανάτους στρατηγοὺς ποιοῦσι, τοὺς δὲ στρατιώτας ξιφοτρώτους καὶ τραυματίας. Ἄρης ὡροσκοπῶν ἐπὶ νυκτερινῆς καταρχῆς καὶ πολεμικῆς, καὶ μᾶλλον ἐν θηλυκῷ ζῳδίῳ, ἀγαθὸς τῷ ἐπιστρατευομένῳ γίνεται καὶ μεγάλη εὐτυχία, ἔτι δὲ μᾶλλον ὅταν καὶ τὸ ζῴδιον, ᾧ ἐφεστήκει, τῆς αἱρέσεως τύχῃ. πολὺ κρείττων ἐστὶν ὅταν Ζεὺς αὐτὸν βλέπῃ · ἔμπρακτον γὰρ καὶ θαρσαλέον τὸν στρατὸν καθίστησιν, εἰ καὶ μετὰ μόγου καὶ ἐργασίας. Ἄρης ἐπαναφερόμενος τῷ ὡροσκόπῳ, ἀγαθοποιοῦ μὴ μαρτυροῦντος αὐτῷ · ὁ ἐπιστρατευόμενος ληίζεται καὶ πραιδεύσεται · εἰ δὲ καὶ ἀγαθοποιὸς ἐπίδοι, ἐκ μέρους πραιδεύεται καὶ ἐκ μέρους ἀποσώζει τὰ αὐτοῦ. Ἄρης μεσουρανῶν παρ' αἵρεσιν ἢ ἐπαναφερόμενος τῷ μεσουρανήματι μακρὰς ἐπιστρατείας καὶ βραδείας ἐντεύξεις ἐχθρῶν ποιεῖ · εἰ δὲ τὸ ζῴδιον, ᾧ ἐφέστηκε, τροπικὸν ἢ δίσωμόν ἐστιν, ἐπανάγει πάλιν ἐπὶ τὴν ἰδίαν χώραν τὸ στρατόπεδον μετὰ διασκέδασιν τῶν πολλῶν χρημάτων. Διὸς δὲ μαρτυροῦντος, λαμπρὰν νίκην σημαίνει καὶ μάλιστα καθ' αἵρεσιν μαρτυροῦντος τῷ Ἄρει. Ἄρης ὑπὸ γῆν σκορπίζει τὰ τοῦ στρατοῦ παρασκευάσματα · καλοποιοῦ δὲ μαρτυροῦντος, ἐπικτήσεις καὶ ἀνακαλαμήσεις ποιεῖ καὶ ἐκ σκύλων κέρδη. Ἄρης δύνων, <εἰ> ἑτέρους καταλάβῃ, καύσεις σημαίνει ὅπου τις ἐπιστρατεύεται. Ἄρης δύνων ἐν ἰδίοις τόποις, Διὸς αὐτὸν ἐφορῶντος, εἰρηνεύει τοὺς πολεμίους. Ἄρης δύνων καὶ τὸν Ἥλιον ἐπιβλέπων ἢ τὴν Σελήνην διίστησι τὸ στρατόπεδον, καὶ χωρισμὸν ποιεῖ, καὶ ἀνώμαλον καθίστησι τὴν ἐπιστρατείαν. Ἄρης δύνων καὶ ὁρῶν τὴν Σελήνην αὐξουμένην τοῖς φωσὶ μεγάλους κιν-

---

1 *ὁρωμένης* p *παρέχει* Sp, *παρασκευάζει* A 3 *Ἡλίω καὶ Σελήνη* p 4-5 *ὄντως* bis S 6 *ξίφει τιτρώσκουσι* S *ὁ Ἄρης ὁρροσκοπῶν* p 7 *καὶ* om. S *ἀγαθὸν* pS 9 *τῷ ζωδίῳ* p *κρεῖττων* codd. 10 *αὐτὸ* Ap 11 *ἀναφερόμενος* Ap 14 *ἐφίδοι* p *τὰ αὐτὰ* S 15 *παραίρεσιν* pS *μεσουρανίω* p 17 *τὼ ζωδίω* Sp *ἐπαναγάγει* pA, *ἐπαναγάγῃ* S 20 *καθαίρεσιν* pS *μαρτυροῦντος* per compend. A, om. S *μεσουρανῶν* p 23 *κερδαίνει* S *εἰ* addidi *καταβάλῃ καὶ* S, *καταβάλλει καὶ* Ap 24 *ἐν ἰδίους τόπους* S. *ἰδίῳ τόπῳ* Ap 25 *πολέμους* S 28 *αὐξομένην* A

δύνους ἐπάγει τῷ στρατῷ ἐν προδοσίᾳ καὶ δεσμοῖς, καὶ πολλῷ πλέον τοῦ Διὸς μὴ ἐφορῶντος. Ἄρης ἐπὶ τὸν Κρόνον ἐνερχόμενος ἤτοι ὅπου ἦν ὁ Κρόνος ἐν καταρχῇ, ἀόκνους καὶ ἑτοίμους καὶ πρακτικοὺς ποιεῖ τοὺς ἐπιστρατεύοντας κατὰ τῶν ὑπεναντίων. Ἄρης ἐρχόμενος ὅπου ὁ Ζεὺς τῆς καταρχῆς ἢ ἡ Ἀφροδίτη ἢ καὶ ὁ Ἑρμῆς, κόπον καὶ πολὺν μόγον παρέχει τῷ στρατῷ. Ἄρης ἐπὶ τοὺς τοῦ Διὸς τόπους ἐρχόμενος ζημίαν καὶ βλάβην παρέχει τοῖς παρατattομένοις· καὶ ἐρχόμενος ὅπου τῆς καταρχῆς ὁ Ἥλιος, καὶ ὕπαυγος γινόμενος νόσον ἐνσκήπτει εἰς τὸ στρατόπεδον, τοῦ δὲ στρατηγοῦ κίνδυνον καὶ ὄλεθρον παρασκευάζει. Ἄρης ἐπὶ τὴν Ἀφροδίτην ἐρχόμενος γογγυσμὸν καὶ ἀντιλογίας τοῦ στρατοῦ σημαίνει. Ἄρης ἐπὶ τὸν Ἑρμῆν ἐρχόμενος δόλους καὶ ὑπονοίας ἐνσπείρει τῷ στρατῷ, καὶ τὴν πρᾶξιν ἐλαττοῖ. Ἄρης ἐπὶ τὸν Ἑρμῆν ἐρχόμενος δόλους καὶ ὑπονοίας ἐνσπείρει τῷ στρατῷ, καὶ τὴν πρᾶξιν ἐλαττοῖ. Ἄρης ἐπὶ Σελήνης τόπον ἐρχόμενος, μὴ μαρτυρούντων τῶν καλοποιῶν, νόσον ἐνσκήπτει ὡς ἐπὶ τοῦ Ἡλίου· εἰ δὲ καὶ κτηνῶδές ἐστι τὸ ζῴδιον, ὄλεθρον ἵππων καὶ ἡμιόνων ποιεῖ, πλὴν ἐνισχύει κατὰ τῶν ἐχθρῶν.

Ἥλιος ὡροσκοπῶν ἐν ταῖς πολεμικαῖς καταρχαῖς καὶ ὑπὸ καλοποιῶν μαρτυρούμενος λαμπρὰν νίκην σημαίνει τῷ ἐπιστρατεύοντι, καὶ μάλιστα ἐν ἰδίῳ οἴκῳ ὢν ἢ ὑψώματι ἢ ἐν ἀρσενικῷ ζῳδίῳ· εἰ δὲ καὶ ἀγαθοποιοὶ αὐτὸν ἐπιδεκατεύουσιν, λαμπροτέρα ἡ νίκη φανήσεται. Ἥλιος μεσουρανῶν τὰ αὐτὰ ποιεῖ καθὰ καὶ ὡροσκοπῶν, ἐκτὸς εἰ μὴ σπονδὰς καὶ διαθέσεις οὐ δίδωσιν. Ἥλιος δύνων λύπην ἐπάγει τῷ στρατεύοντι, καὶ χαρὰν ἐντίθησι τῷ ἀντιτασσομένῳ. Ἥλιος δύνων καὶ ἐπ' ἀλλοτρίων τόπων ἑστὼς καὶ ὑπὸ κακοποιῶν μαρτυρούμενος ἢ διαμετρούμενος ἢ τετραγωνιζόμενος ἐπαγωγὴν καὶ ὀξεῖαν ἀναίρεσιν ἐπάγει τῷ ἀντιστρατευομένῳ· εἰ δὲ καὶ ἡ Σελήνη κατ' ἐκεῖνο τῷ Ἡλίῳ συνοδεύει, βεβαιότερα τὰ προειρημένα γενήσεται. Ἥλιος ἐν τῷ ὑπὸ γῆν κέντρῳ ὑπάρχων

---

2 εὐφορῶντος S ἐρχόμενος p 5-6 καὶ ὁ om. S 7 τοὺς om. S ζημίας καὶ βλάβας S 8 τοὺς παρατattομένους καὶ ἐρχομένους Sp, τοῖς π. καὶ ἐρχομένοις A 9 ἐνσκόπτει S 11 ἀντιλογίαν Ap τῷ στρατῷ A 12 ὁ Ἄρης Ap 16 καλοποιῶν μὴ μαρτυρούντων Ap 16 Hic nonnulla de Venere exhibentur, quae capiti de Sole postposuimus. 21 οἴκῳ Ap, τόπῳ S 23 καθὼς Ap, ἐπὶ τῷ S 28 ἐπάγει om. S εἰ] ἔτι codd. 29 ἀνεδεύει p, ἀνοδεύουσα A 30 ὑπάρχει S

καὶ ὑπὸ τῶν φθοροποιῶν βλαπτόμενος κατὰ τὰ προειρημένα ποιεῖ, ἐκτὸς εἰ μὴ ἐν ἰδίῳ οἴκῳ ἢ ὑψώματι ὑπάρχῃ. Ἥλιος ἐν Κρονικοῖς ὑπάρχων τόποις κατὰ τὴν προειρημένην θέσιν, ἰσχυροὺς καὶ πρακτικοὺς καὶ ἐπιτευκτικοὺς τοὺς στρατιώτας σημαίνει. Ἥλιος ἐν Ἄρεως τόποις ὑπάρχων, ἐν τῇ τοιαύτῃ θέσει, ἀηδίαν καὶ συνοχὴν τοῦ στρατοῦ σημαίνει. ἀμφότεροι οἱ φωστῆρες ἐν τοῖς τοῦ Διὸς τόποις ὑπάρχοντες ἀγαθοὺς τοὺς ἡγεμόνας καὶ σώφρονας τοὺς στρατιώτας σημαίνουσιν. Ἥλιος ἐν τοῖς τῆς Ἀφροδίτης ὑπάρχων τόποις νοητικοὺς καὶ ἱκανοὺς τοὺς ἡγεμόνας σημαίνει. Ἥλιος ἐν τοῖς Ἑρμαϊκοῖς τόποις ὑπάρχων δραστηρίους καὶ εὐτυχεῖς τοὺς ἡγεμόνας καθίστησιν. ἐνεργέστερα δὲ ἔσται τὰ προειρημένα, ὅταν ὁ κύριος τοῦ ζῳδίου καὶ τῶν ὁρίων ἐπιβλέπῃ τοὺς φωστῆρας ἢ ἐπιμαρτυρῇ αὐτούς.

Ἀφροδίτη ὡροσκοποῦσα ἢ ἐπαναφερομένη τῷ ὡροσκόπῳ ἐπὶ πολεμικῇ καταρχῇ, τοῦ Ἄρεως αὐτῇ συσχηματιζομένου ἀνατολικῇ οὔσῃ, ἐπιτευκτικοὺς καὶ εὐτυχεῖς ποιεῖ τοὺς στρατηλάτας, καὶ ὑπακοὴν τοῦ στρατοπέδου ποιεῖ· καὶ βεβαιότερα ἔσται τὰ ἀγαθά, ὅταν καὶ ἡ Σελήνη ἐπιβλέπῃ τὴν Ἀφροδίτην· ὅταν δὲ Ἑρμῆς, σὺν αὐτῷ <τῷ> Ἄρει, αὐτῇ συσχηματισθῇ καὶ Κρόνῳ, ποιεῖ τοὺς ἡγεμόνας ἅρπαγας, ἀδίκους καὶ πολυψόγους. Ἀφροδίτη ὡροσκοποῦσα ἐν δισώμῳ ζῳδίῳ, τοῦ Ἄρεως ὄντος ἐν δισώμῳ, διαίρεσιν τοῦ στρατοῦ δηλοῖ καὶ δυσὶ στρατηγοῖς κεχρῆσθαι. Ἀφροδίτη μεθ' Ἑρμοῦ ὡροσκοποῦσα ἢ μεσουρανοῦσα καὶ οὖσα ἀνατολικὴ πειθαρχεῖν παρασκευάζει τὸν στρατὸν καὶ σωφρονεῖν τοὺς ἡγεμόνας, καὶ μάλιστα θηλυκοῦ ἢ τροπικοῦ ὄντος τοῦ ζῳδίου. Ἀφροδίτη ὡροσκοποῦσα ἢ μεσουρανοῦσα, τῆς Σελήνης αὐτὴν ἐφορώσης σὺν τῷ Ἄρει, ὑποτάσσει τὸν στρατὸν τοῖς ἡγεμόσιν. Ἀφροδίτη ὡροσκοποῦσα σὺν Ἑρμῇ, Ἄρεως δύνοντος, ἀναστατοῖ τὸν στρατόν, καὶ ἐγείρει κατὰ τῶν ἡγεμόνων· διόρθωσις δὲ γίνεται τοῦ

---

1 *βλεπόμενος* (?) cf. p. 236, l. 26 ; 239, l. 25. 3 *ὑπάρχει* τ. A, *ὑπάρχων* Sp 5 *ἀειδίαν* p 6 *τῇ τοῦ Διὸς* p 8 *ὑπάρχει* S 11 *ἐνετέρας* S 12 *ὡρίων* p 13 *ἐπιβλέπει* p *ἐπιμαρτυρεῖ* Ap 14-22 Haec capiti de Sole in codd. praeposita sunt 14 *ἀναφερομένη* A 15 *πολεμικῆς καταρχῆς* Ap 18 *ἡ* om. p 19 *σὺν τῷ Ἄρει* Ap *Κρόνος* p, om. S 20 *καὶ ἀδίκους* p 21 *ὡροσκοπῶν* p *ζῳδίῳ* om. Ap 23 *καὶ οὖσα* om. S 24 *πειχαρχεῖν* p *τῷ στρατῷ καὶ σωφρονεῖ τοῖς ἡγεμοσι* Ap

Διὸς ἐπέμβασιν ποιουμένου ἐν ᾧ τόπῳ ἐπιβλέπει τὸν κατὰ πῆξιν ὡροσκόπον. Ἀφροδίτη ὡροσκοποῦσα, τοῦ Κρόνου δύνοντος· ὁ στρατηγὸς ὑπὸ τοῦ ἰδίου στρατοῦ ἀναιρεῖται. Ἀφροδίτη ὡροσκοποῦσα, Σελήνης ὑπὸ γῆν οὔσης, εὐτυχίαν τοῦ στρατοῦ σημαίνει καὶ νίκην λαμπρὰν καὶ ἐπάνοδον ταχεῖαν καὶ ἀγαθήν. Ἀφροδίτη ὡροσκοποῦσα ἐν θηλυκῷ ζῳδίῳ εὐγένειαν τοῦ στρατηγοῦ καὶ δικαιοπραγίαν σημαίνει. Ἀφροδίτη ὡροσκοποῦσα καὶ ἀνατολικὴ οὖσα ἢ ἐπαναφερομένη τῷ μεσουρανήματι εὔπρακτον ποιεῖ τὴν ἐπιστρατείαν καὶ προσβολὰς δυσαντήτους, καὶ μάλιστα Κρόνου μὴ ἐφορῶντος. Ἀφροδίτη μεσουρανοῦσα ἐν θηλυκῷ ζῳδίῳ νωχελεῖς πολέμους καὶ βραδείας προσβολὰς ἐπιτελεῖ, καὶ μάλιστα τοῦ Ἄρεως αὐτῇ μὴ συσχηματιζομένου. εἰ δὲ καὶ Ζεὺς καὶ Ἄρης αὐτὴν μὴ ἐπίδωσιν, παντελῶς πόλεμος οὐ γίνεται. Ἀφροδίτη ἐν ἀρσενικῷ ζῳδίῳ ἢ ἐπαναφερομένη τῷ μεσουρανήματι, τῆς Σελήνης ἐν ἀρσενικῷ οὔσης ζῳδίῳ καὶ μαρτυρουμένης ὑπὸ Ἄρεως καὶ Ἑρμοῦ, ἐπανδρότερον καὶ παραβολώτατον ποιεῖ τὸν στρατὸν, καὶ διὰ μηχανημάτων καὶ τρακταισμῶν τὴν νίκην ἐπιτελεῖ. Ἀφροδίτη δύνουσα, Ἄρεως μὴ ἐφορῶντος· εἰς σπονδὰς καὶ εἰρήνην τρέπεται ἡ ἐπιστρατεία. Ἀφροδίτη μεσουρανοῦσα καὶ ὑπὸ Κρόνου θεωρουμένη ὄντος ἐν ἰδίῳ τόπῳ ἰσχυροὺς τοὺς στρατοπεδάρχας καὶ ἱκανωτάτους ποιεῖ, καὶ μάλιστα ἐν τροπικοῖς ὄντος ζῳδίοις. Ἀφροδίτη μεσουρανοῦσα ἢ ἐν τῷ ὑπὸ γῆν καὶ μαρτυρουμένη ὑπὸ Κρόνου καὶ Ἄρεως ἐξ ἀλλοτρίων τόπων, Διὸς μὴ βοηθοῦντος, ἐφυβρίστους καὶ ἐπονειδίστους ποιεῖ τοὺς στρατηλάτας, καὶ ἀναστατοῖ τὸν στρατὸν κατ' αὐτῶν, πρὸς οἷς δὲ καὶ τῆς Σελήνης βλαπτομένης, καὶ ἧτταν τοῦ στρατοῦ σημαίνει. Ἀφροδίτη δύνουσα, Ἄρεως μεσουρανοῦντος, ἔνδοξον παρέχει τὴν νίκην κατὰ τῶν ἐχθρῶν. Ἀφροδίτη δύνουσα καὶ ὑπὸ Διὸς ὁρωμένη ἐνισχύει τοὺς ἀντιστρατευομένους. Ἀφροδίτη δύνουσα, Κρόνου ἢ Ἄρεως μεσουρανούντων καὶ

---

1 *Διὸς ἐπ' ὄμμασιν* S *κατὰ τάξιν* Ap 2 *ὡροσκόπου* p 4 *γῆν* codd. 8 *ἀναφερομένη* S *τῷ μάρτυρι* Ap *ἔμπρακτον* Ap 9 *δυσαντώτους* S, *δησαντήτους* p 10 *εὐφορῶντος* S *νωλεχεῖς* S 11 *βραδεῖς* codd. 12 *καὶ Ζεὺς* S, *Ζεὺς* Ap 13 *ἐφίδωσιν* p 14 *μεσουρανήματι* per symbolum S, *μάρτυρι* Ap 15 *μαρτυρουμένων* p 16 *ποιεῖται* Ap, *ποιῆσαι* S 18 *εὐφῶντος* S 21 *ὄντες* Sp 25 *αὐτὸν* S 27 *μεσουρανῶν* p ; compendium, cui superimpositae sunt litterae *α ρ ς*, A 29 *Κρόνῳ* Ap *μεσουρανῶν* p

ἐν τροπικοῖς ὄντων ζῳδίοις · οὐχ ἅπαξ τὸ κακὸν γενήσεται, ἀλλὰ καὶ πολλάκις. Ἀφροδίτη ἐν τῷ ὑπὸ γῆν λύπην παρέχει τοῖς ἐπιστρατεύουσι καὶ μάλιστα ἐν ἀρσενικῷ οὖσα ζῳδίῳ. Ἀφροδίτη ἐπὶ τὸν Κρόνον ἐρχομένη καλὴ πρὸς πᾶσαν πρᾶξιν, καὶ ἐπιρρέψει · τρέπει γὰρ τοὺς ὑπεναντίους. Ἀφροδίτη ἐπὶ τοὺς τοῦ Διὸς ἐρχομένη τόπους ἐν ἐλπίσιν ἀγαθαῖς εἶναι τὸ στρατόπεδον σημαίνει. Ἀφροδίτη ἐπὶ τὸν Ἥλιον ἐρχομένη ἀναστατοῖ τὸ στρατόπεδον καὶ εἰς ἀντιλογίας παρασκευάζει. Ἀφροδίτη ἐπὶ Ἑρμῆν ἐρχομένη αὔξει τὰς εὐτυχίας, καὶ τὰς νίκας παρέχει τῷ ἐπιστρατεύοντι. Ἀφροδίτη ἐπὶ Σελήνην ἐρχομένη καλὴ καὶ ἱλαροποιὸς καὶ ἔμπρακτος.

Ἑρμῆς ὡροσκοπῶν καὶ ἀνατολικὸς ὑπάρχων εὐδαιμονίαν καὶ ὀξυπραγίαν τοῦ στρατοῦ σημαίνει. Ἑρμῆς ὡροσκοπῶν μετὰ καλοποιοῦ · χρήμασιν ἀναπείθεται ὁ διώκων, καὶ παύει τοῦ ἐγχειρήματος. Ἑρμῆς ὡροσκοπῶν ἢ μεσουρανῶν ἐν δισώμῳ ζῳδίῳ καὶ ἀνατολικὸς ὑπάρχων πλῆθος αἰχμαλωσίας παρασκευάζει τοῖς στρατιώταις. Ἑρμῆς μετὰ Ἀφροδίτης ὡροσκοπῶν ἢ μεσουρανῶν δόξαν παρέχει τῷ στρατῷ · εἰ δὲ καὶ Ζεὺς ἐπιμαρτυρήσει, λαμπροτέρα φανήσεται ἡ στρατηγία. ἐὰν δὲ ὕπαυγος εἴη ὁ Ἑρμῆς ἐν τῇ τοιαύτῃ θέσει, κακοτρόπους καὶ ἐνδομύχους καθίστησι τοὺς ἡγεμόνας. Ἑρμῆς μεσουρανῶν ἢ ἐπαναφερόμενος ἐν τῷ μεσουρανήματι ἢ τῷ ὡροσκόπῳ δόξαν καὶ εὐπραγίαν παρέχει τοῖς στρατιώταις, καὶ ἀπαράμονον τὴν ἐπιστρατείαν ποιεῖ, ἐν οἷς δὲ καὶ ὑποσπόνδους τοὺς ὑπεναντίους ἄγει καὶ εἰρήνην βραβεύει. Ἑρμῆς δύνων πλῆθος στρατιᾶς ἀναιρεῖ καὶ μάλιστα ἐν τροπικῷ ἢ δισώμῳ ζῳδίῳ ὑπάρχων καὶ τοῦ Ἄρεως ἐπιβλέποντος αὐτόν. Ἑρμῆς ὑπόγειος τὰ αὐτὰ ποιεῖ. ὁ Ἑρμῆς χαίρει συνὼν τοῖς καλοποιοῖς καὶ τοῖς κακοποιοῖς ἀστράσι, ἐπειδήπερ οἱ μὲν καλοὶ ἔμπρακτον αὐτὸν ποιοῦσιν, οἱ δὲ κακοποιοὶ πανοῦργον. Ἑρμῆς μετὰ Κρόνου ὡροσκοποῦντος βλάβην ἐπιφέρει τῷ παρατασσομένῳ. Ἑρμῆς

---

4 *ἐπιρέψει* S, *ἐπιρρίψει* Ap 6 *τοὺς τόπους* Sp
8 *Ἑρμοῦ* p 10 *Σελήνης* p 13 *ὀξυπραγίας* S 14 *διώκων* omisso *ὁ* p 15-17 *ἐν δισώμῳ ζῳδίῳ - στρατιώταις* om. S
17 *μετὰ Ἀφροδίτης* om. S 18 *ἐπιμαρτύρησε* S
19 *στρατιά* S *ἐν* om. S 21 *μεσουρανίῳ* p 22 *ἢ τοῦ* S
23 *παράμονον* AS 25 *στρατείας* Ap 26 *ὑπάρχει* S
28 *ἀστήρσι* p *ὁ μὲν καλοὶ* p 29 *κακοὶ πανοῦργον* Ap

ὑπὸ τῶν κακοποιῶν ἐφορώμενος ἐν ταῖς τοιαύταις καταρχαῖς καὶ τοὺς ἡγεμόνας καὶ τοὺς στρατιώτας ἀδίκους καθίστησιν.

Σελήνη ὡροσκοποῦσα καὶ αὔξουσα τοῖς φωσὶ τῷ παρατασσομένῳ βοηθεῖ. Σελήνη ἐπὶ ἡμερινῆς καταρχῆς ὡροσκοποῦσα ἢ μεσουρανοῦσα μικρὰς ὑποτίθησι καὶ ἐμποδίζει τὰς εὐτυχίας, καὶ μᾶλλον ὅταν φθοροποιοὶ αὐτὴν ἐπίδωσιν ἢ ἐπαναφέρωνται· ἔκπτωσιν γὰρ μετὰ τὴν νίκην ἐπάγει. ἐὰν δὲ ἡ Σελήνη ἐν ἰδίῳ οἴκῳ ἢ ὑψώματι ἐν τῇ τοιαύτῃ θέσει καὶ ὑπὸ καλοποιῶν μαρτυρῆται, ἡ νίκη λαμπρὰ καὶ περιβόητος γενήσεται. Σελήνη ἐπὶ νυκτερινῆς καταρχῆς ὡροσκοποῦσα ἢ μεσουρανοῦσα ἢ ἐπαναφερομένη τοῖς εἰρημένοις κέντροις λαμπρὰν καὶ περιβόητον παρέχει τὴν νίκην, καὶ τὰ ποριζόμενα ἐλαττοῖ. εἰ δὲ καὶ καλοποιὸς ἐπίδοι, πολλῷ πλέον λαμπρὰ καὶ ἐπίδοξος ἔσται ἡ νίκη καὶ τὰ ποριζόμενα ἄφθονα. Σελήνη ἐν τῷ δύνοντι ὀξεῖαν νίκην τοῖς ἐχθροῖς σημαίνει καὶ ἔκπτωσιν τοῖς παρατασσομένοις καὶ ὀξεῖαν σκύλευσιν καὶ τροπὴν ἀκατάσχετον. Σελήνη ἐν τῷ ὑπὸ γῆν κέντρῳ οὖσα καὶ ὑπὸ κακοποιῶν βλαπτομένη διὰ λόχων καὶ ἐνεδρῶν καὶ δόλου ποιεῖ τὴν καθαίρεσιν τῷ λόγον ἔχοντι πρὸς τὸν τόπον ἐξ ἑκατέρων τῶν μερῶν· εἰ δὲ καὶ ἀγαθοποιοὶ [illegible]ωσιν ἢ ἐπιβλέπωσιν, ἀπὸ λόχμων καὶ δόλων τὴν ὠφέλειαν ἐμποιεῖ τῷ προειρημένῳ μέρει. Σελήνη ἐν Ἄρεως τόποις ὑπάρχουσα κατὰ τὴν προειρημένην θέσιν θρασεῖς καὶ ἀνδρείους καὶ δραστηρίους τοὺς στρατιώτας σημαίνει. προσήκει μέντοι καὶ τὰς μαρτυρίας τῶν ἀστέρων ἐπιβλέπειν· ἐὰν μὲν γὰρ καλοποιοὶ ἐφορῶσι τοὺς φωστῆρας ἐν τοῖς προειρημένοις τόποις, δικαίαν προαίρεσιν τῶν ἡγεμόνων σημαίνουσιν· εἰ δὲ κακοποιοὶ ἐφορῶσι τὰ φῶτα, ἀδίκους καὶ δολίους τοὺς ἡγεμόνας σημαίνουσι. Σελήνη ἐν τοῖς τῆς Ἀφροδίτης τόποις ὑπάρχουσα εὐτυχίαν καὶ εὐπραγίαν δι' ἐπινοιῶν τοῦ στρατηγοῦ σημαίνει. Σελήνη εἰς τὸν ἑαυτῆς ἐρχομένη τόπον, εἰς ὃν ἦν ἐν τῇ καταρχῇ τῆς ἐπιστρατείας, μετεωρισμοὺς τῷ στρατῷ παρέχει· ἐὰν δὲ καὶ

---

1 ταῖς om. S 3 τῷ παρατ. β. Ap 5 μικρὸν codd. fors. recte ὑπερτίθησι p 6 ἐφίδωσιν p ἐπαναφέροντι codd. 8 μαρτυρεῖται codd. 11 εἰρ. καιροῖς Ap τὴν om. p 12 ἐφίδοι p 13 πλέω S 16 ἀνάσχετον p, κατάσχετον S καιρῷ Ap, sed in A superimpositum compendium quod est κέντρον 18 τοῦ λόγον ἔχοντος Ap, τὸν λόγον ἔχοντι S 19 ἐποῖεν ἢ ἐπιβλέποιεν A λόχων p 20 δατῶν Ap ποιεῖ A 27 σημαίνει S ὑπάρχουσα τόποις Ap 30 ἐπιστρατίας S

ἐν τροπικῷ τυγχάνῃ ζῳδίῳ, ἀπὸ πράξεως εἰς ἑτέραν πρᾶξιν μετατίθησι τὸ στρατόπεδον · ἐὰν δὲ μετὰ Ἀφροδίτης ἢ τοῦ Διὸς κατὰ τὴν πῆξιν ἐτύγχανε οὖσα, χαρὰν καὶ ἀγαλλίασιν τῷ στρατῷ παρέχει. Σελήνη εἰς τὸν τοῦ Ἡλίου τόπον ἐλθοῦσα καλὴ πρὸς σύστασιν καὶ ὑπακοὴν τοῦ στρατοῦ. Σελήνη εἰς τοὺς Ἄρεως τόπους ἐρχομένη, τῶν ἀγαθοποιῶν μαρτυρούντων, λαμπρὰν νίκην σημαίνει · εἰ δὲ κακοποιοὶ ἐπιβλέπωσιν, αἰφνίδιον κίνδυνον τοῦ στρατοῦ δηλοῖ. Σελήνη ἐπεμβαίνουσα τὴν Ἀφροδίτην, κακοποιοῦ μὴ μαρτυροῦντος, εὐπραγίαν τοῦ στρατοῦ δηλοῖ. Σελήνη ἐπὶ τὴν Ἀφροδίτην ἐρχομένη, Ἄρεως σὺν αὐτῇ παρόντος, διαλλαγὰς καὶ σπονδὰς σημαίνει γεγενῆσθαι πρὸς τοὺς ὑπεναντίους. Σελήνη ἐπὶ Κρόνον ἐρχομένη, τοῦ Κρόνου ἐν ἰδίῳ ὄντος τριγώνῳ, καὶ αὔξουσα τοῖς φωσίν, ὠφέλειαν τῷ στρατῷ σημαίνει. Σελήνη ἐπὶ τὸν Ἑρμῆν ἐρχομένη, ἐὰν μὲν καλὸς ὁ Ἑρμῆς τύχῃ καὶ ὑπὸ ἀγαθοποιῶν μαρτυρούμενος, καλὰ δηλοῖ τῷ στρατῷ · ἐὰν δὲ κακὸς καὶ ὑπὸ κακοποιῶν μαρτυρούμενος, κακὰ σημαίνει. Σελήνη ἐπὶ τὸ κατὰ πῆξιν ὡροσκοποῦν ἐλθοῦσα μετεωρίζει τὸ στρατόπεδον καὶ κενὰς ἐλπίδας παρέχει. Σελήνη ἐπὶ τῷ μεσουρανοῦντι τῆς καταρχῆς ἐρχομένη, δόξαν καὶ προαγωγὴν ἀγαθὴν ποιεῖ τῷ στρατῷ. Σελήνη ἐπὶ τὸ δῦνον τῆς καταρχῆς ἐρχομένη καλὴ πρὸς ἐπιβουλὰς κατὰ τῶν ἐναντίων. Σελήνη εἰς τὸ ὑπὸ γῆν ἐρχομένη τῆς καταρχῆς ὡσαύτως καλὴ πρὸς ἐπιβουλὰς καὶ λαθραῖα πράγματα καὶ ἀποκρύφια καὶ πρὸς χειρισμὸν τῶν τοιούτων.

30. *Περὶ συναφῆς καὶ ἀπορροίας* (1).

Σελήνη Κρόνῳ συνάπτουσα καὶ ἐν ἀποκλίματι οὖσα ἀδυναμίαν

---

1 *δὲ καὶ τροπικῷ* p ; *καὶ* om S, *ἐν* om. A 3 *τὴν πρᾶξιν* S *τυγχάνει* S 4 *καλὴ καὶ σύστασιν* 5 *ἐκ... τόπου* S *τοὺς τοῦ* p 7 *ἐπιβλέπουσιν* Ap 8-9 *Σελήνη - δηλοῖ* om. A 10 *καταλλαγὰς* S 11 *γεγενεῖσθαι* p 12 *Κρόνου* p, compend. AS *ὄντι* codd. *τριγώνου* p 13 *Σελήνης* p 14 *καλῶς* Ap 16 *ἐπὶ τὴν* S 17 *ὡροσκοποῦν* compend. AS (in S ? exit in *-ουν*), *ὡροσκοπῶν* p 19-20 *δόξαν - ἐρχομένη* om. S *δύνων* p 21 *ὑπεναντίων* S 22 *ἐπιβουλὴν* S 23 *ἀπόκρυφα* S *χειρισμῶν* A, *καὶ προχειρισμὸς* p

Cap. 30. S, f. 248 Titulus deest in S.

---

(1) De argumento cf. *Cat.* VIII, iii, p. 181.

καὶ δειλίαν τοῦ στρατηγοῦ καὶ τοῦ στρατοπέδου δηλοῖ καὶ χειμασίαν καὶ πολὺν κίνδυνον· ἐὰν δὲ Ζεὺς μαρτυρήσῃ τῷ μεσουρανήματι ἢ τῷ δευτέρῳ τόπῳ, λύεται τὸ κακὸν καὶ μάλιστα ἐν τροπικοῖζῳδίοις <ὄντος τοῦ> Διός. Σελήνη Διὶ ἐπικέντρῳ καὶ εὐθυπορροῦντι συνάπτουσα, δόξαν τῷ στρατηλάτῃ παρέχει, κακῶς δὲ κειμένῳ τῷ Διὶ συνάπτουσα ἐλάττωσιν δόξης καὶ τιμῆς τῷ στρατηλάτῃ παρέχει. Σελήνη τῷ Διὶ συνάπτουσα καὶ ἐπίκεντρος οὖσα εὐδόκιμον καὶ εὐτυχῆ τὸν στρατὸν σημαίνει. Σελήνη Ἄρει συνάπτουσα καὶ ἐν ἀποκλίματι οὖσα ἀνωμαλίαν τῆς ἐπιστρατείας δηλοῖ καὶ κινδυνώδεις ἐπιθέσεις καὶ ἀτυχίαν· ὅμως οὖν φοβοῦσι τοὺς ἐχθρούς. Σελήνη Ἄρει συνάπτουσα καὶ ἐπίκεντρος οὖσα, τοῦ Διὸς ἐφορῶντος, δραστήριον τὸν στρατηγὸν σημαίνει καὶ ἐπιτευκτικὸν καὶ νίκην λαμπρὰν ἀναδησόμενον. Σελήνη Ἄρει καλῶς κειμένῳ <συνάπτουσα> καὶ μειουμένη τοῖς φωσὶ πρακτικοὺς καὶ θερμοὺς καὶ εὐτυχεῖς τοὺς ἡγεμόνας καθίστησι καὶ τοὺς στρατιώτας τολμηρούς· εἰ δὲ κακῶς κειμένῳ τῷ Ἄρει αὐξιφωτοῦσα συνάψει Σελήνη, φαύλη καὶ ἀπόστροφος ὑπάρχει καὶ τοῖς ἄρχουσι καὶ τοῖς ἀρχομένοις, καὶ μάλιστα τοῦ Ἄρεως ἀφαιρετικοῦ τυγχάνοντος. Σελήνη Ἡλίῳ συνάπτουσα ἐπὶ ἀρσενικῷ ζῳδίῳ δόξαν καὶ μεγαλοπρέπειαν τῷ στρατηγῷ παρέχει, πλὴν ἐν ἀρχῇ λύπην ἐπάγει καὶ διασκέδασιν χρημάτων, προϊόντος δὲ τοῦ χρόνου, εὐτυχίαν καὶ ἐπιείκειαν περιχαρῆ ποιεῖ. Σελήνη τῇ Ἀφροδίτῃ συνάπτουσα, τοῦ Ἄρεως συσχηματιζομένου καὶ ἐπὶ χρηματιζόντων τόπων ὄντος, νικητὰς καὶ ἐπιεικεῖς τοὺς ἡγεμόνας δηλοῦσιν. Σελήνη τῷ Ἑρμῇ συνάπτουσα καὶ ἐπίκεντρος οὖσα ἢ ἐπαναφερομένη τοῖς κέντροις, τοῦ Ἄρεως καλῶς κειμένου καὶ ἐπιμαρτυροῦντος, εἰς λαμπρὰν νίκην καὶ εἰς φόρους ἐπάγει τοὺς ἐπιτασσομένους.

---

1 στρατοῦ S 2 πολλὴν p μαρτυρήσει S μεσουρανίῳ p 3 λύεται om. Ap ; in A lacuna. 4 ὄντος τοῦ addidi 6 κειμένη S τῷ om. S 7 ἐπίκαιρος Ap 8 τῷ στρατῷ p 10 ἀτυχίας A τοὺς om. Ap 13 κειμένη codd. ; sed cf. l. 16 14 συνάπτουσα addidi 17 συνάπτει Sp Σελήνη S, καὶ Ap (e Lunae symbolo ἀπρόσφορος p 19 ἀρρηνικῷ ὄντι A 21 προιόντας p 22 ἐπιχαρῆ Ap 23 χρηματιζομένων Ap 24 ὄντων codd. 25 Ἀφροδίτῃ (pro Ἑρμῇ) S per symbolum ἐπιφανερομένη ἢ Ap, ἐπιφανερουμένη S 27 καὶ λαμπρὰν νίκην p, τῇ λαμπρᾷ νίκῃ S ὑποτασσομένους Sp

Σελήνη τοῦ Κρόνου ἀπορρεέουσα καὶ συνάπτουσα τῷ Διὶ ἐν ταῖς πολεμικαῖς καταρχαῖς περίκτησιν καὶ περιποίησιν ἀπὸ καμάτου καὶ πολλῶν κόπων ποιεῖται, μετὰ καὶ πολλῶν χωρῶν ἐναλλαγήν, καὶ ἐπιστρατείαν καὶ ὑποστροφὴν ἀγαθήν· ἀπὸ δὲ Διὸς ἐπὶ Κρόνον φερομένη ἐν τῇ ἐπιστρατείᾳ τὰ ἐναντία τοῖς προειρημένοις ποιεῖ. ἀπὸ δὲ Κρόνου ἐπὶ Ἄρεα φερομένη κατὰ τὸν καιρὸν τῆς ἐπιστρατείας λύσιν κακῶν παρέχει, καὶ θρασεῖς καὶ τολμηροὺς παρασκευάζει τοὺς στρατιώτας· ἀπὸ δὲ Ἄρεως ἐπὶ Κρόνον φερομένη τὰ ἐναντία ποιεῖ. ἀπὸ δὲ Κρόνου ἐπὶ Ἀφροδίτην φερομένη ἡ Σελήνη <ἐν> τῷ καιρῷ τῆς ἐπιστρατείας πρὸς πάντα εὐχερής, προστίθησι <δὲ> θηλυκῶν προσώπων ἀνδραποδισμοὺς καὶ συνουσίας. ἀπὸ δὲ Ἀφροδίτης ἐπὶ Κρόνῳ φερομένη <ἐν> τῷ προειρημένῳ καιρῷ ἢ κατὰ τὸν συγκρουσμὸν τοῦ πολέμου νίκην κατὰ τῶν ὑπεναντίων ποιεῖ, καὶ μάλιστα τοῦ Κρόνου ἑσπερίου ὄντος· ἑῴου δὲ ὄντος τοῦ Κρόνου, λύπην μετὰ νίκην τῷ στρατῷ παρέχει. ἀπὸ δὲ Κρόνου πρὸς Ἑρμῆν φερομένη ἡ Σελήνη <ἐν> τῷ καιρῷ τῆς παρατάξεως φθόνον καὶ ἔριν ἐνσπείρει τοῖς ἡγεμόσι, καὶ νωχέλειαν τῷ στρατῷ παρέχει· ἐὰν δὲ ἑῷός ἐστιν ὁ Ἑρμῆς, λύσιν ἀκίνδυνον παρέχει· εἰ δὲ ἑσπέριος ἢ ὕπαυγος, δόλον ἐν τῷ στρατῷ παρασκευάζει. ἀπὸ δὲ Ἑρμοῦ ἐπὶ Κρόνον φερομένη ἐγκοπὰς τῆς νίκης ποιεῖ, καὶ νόσους ἐνσκήπτει τῷ στρατοπέδῳ. ἀπὸ δὲ Ἄρεως ἐπὶ τὸν Δία φερομένη ἡ Σελήνη ἐν ταῖς τοιαύταις καταρχαῖς πάνυ καλή, καὶ μάλιστα ὅταν ἑῷος ὁ Ζεὺς τύχῃ· ἐὰν δὲ ἑσπέριος, παραμυθίαν τῶν λυπηρῶν ποιεῖ. ἀπὸ δὲ Διὸς ἐπὶ τὸν Ἄρεα φερομένη ἡ Σελήνη ἐλάττωσιν καὶ λεῖψιν τῶν στρατιωτικῶν χρειῶν ποιεῖ. ἐὰν δὲ καὶ αὐξιφωτῇ, πολὺ χεῖρον. ἀπὸ δὲ Διὸς ἐπὶ Ἀφροδίτην ἐρχομένη ἡ Σελήνη πρὸς μὲν πάντα τὰ στρατιωτικὰ καλή, λαγνείαν δὲ καὶ ἀσωτίαν τῷ στρατῷ εἶναι δηλοῖ. ἀπὸ δὲ Ἀφροδίτης ἐπὶ τὸν

---

1 *τῷ Κρόνῳ* A 2 *περίκτισιν* S 3 *κόπων* Ap, *τόπων* S 5 *Κρόνου* Ap 6 *Ἄρεως* p 7 *παρέχει* bis p 8 *Κρόνου* p 10 *εὐχερῆ* codd. *δὲ* addidi et *ἐν* 11 *θηλυκοῖς* S, *φιλικῶν* Ap *προσώποις* S 12 *Ἑρμοῦ* AS, *Ἀφροδίτην* p 13 *συγκρούοντα* S 14 *ὑπεναντίων* A, *πολεμίων* S 15-16 *λύπην - ἀπὸ δὲ Κρόνου* om. S *πρὸς* Sp, *ἐπὶ* A 17 *προστάξεως* S *νωχελία* Sp 18-19 *ἐὰν δὲ - παρέχει* om. Ap 21 *νόσου* 23 *ἂν δὲ ἑσπέριος* p 25 *λῆψιν* codd., corr. 27 *λαγνίαν* p 28 *δὲ* om. S *ἀσωτείαν* S *Ἀφροδίτην* p

Δία φερομένη ἐν τοῖς πολέμοις καλὴ καὶ νικοποιός, καὶ δόξαν ἐπιτίθησι τοῖς ἡγεμόσι καὶ μεγαλοπρέπειαν, καὶ μάλιστα τὴν συναφὴν ἐπὶ τῶν κέντρων ποιοῦσα. ἀπὸ δὲ Διὸς ἐπὶ τὸν Ἑρμῆν φερομένη διὰ δόλων τὴν νίκην ποιεῖ. ἀπὸ δὲ Ἑρμοῦ ἐπὶ τὸν Δία φερομένη εὐτυχίαν καὶ ἐντεύξεις ἀγαθὰς δίδωσιν. ἀπὸ δὲ Ἄρεως ἐπὶ τὴν Ἀφροδίτην φερομένη, ἑσπερίων ὄντων ἀμφοτέρων, περίκτησιν καὶ αἰχμαλωσίαν ποιεῖ· ἐὰν δὲ καὶ ἑῷοι ὦσιν, καὶ λαμπρὰν νίκην προστιθέασιν. ἀπὸ δὲ Ἀφροδίτης ἐπὶ τὸν Ἄρεα φερομένη, ἑσπερίων ὄντων, πολυψόγους τοὺς ἡγεμόνας ποιοῦσιν· ἂν δὲ ἑῷοι, ἐπανδροτέρους καὶ εὐθαρσεῖς ποιοῦσι τοὺς στρατιώτας, πλὴν στάσιν ἐγείρουσι κατὰ τῶν ἡγεμόνων καὶ ἀντιλογίας ἐμποιοῦσιν. ἀπὸ δὲ Ἄρεως ἐπὶ τὸν Ἑρμῆν φερομένη ἐν ταῖς τοιαύταις καταρχαῖς ἡ Σελήνη, ἑῴων μὲν ὄντων ἀμφοτέρων, πειθηνίους καὶ ὑποτακτικοὺς ποιοῦσι τοὺς στρατιώτας· ἑσπερίων δὲ ὄντων, ἀκαταστάτους καὶ ῥαθύμους καὶ ἀστάτους ποιοῦσιν. ἀπὸ δὲ Κρόνου ἐπὶ Ἄρεα φερομένη ἡ Σελήνη, ἑῴων μὲν ὄντων, ἅρπαγας καὶ ἀδίκους δεικνύουσι τοὺς στρατιώτας. ἀπὸ δὲ Ἑρμοῦ ἐπὶ τὴν Ἀφροδίτην φερομένη ἡ Σελήνη ἱλαροὺς καὶ δαπανηροὺς καθίστησι τοὺς στρατιώτας, καὶ μάλιστα ἑσπερίων ὄντων· ἑῴων δὲ ὄντων, προστίθησι τὴν εὐτυχίαν. ἡ Σελήνη ἀπὸ συνόδου τοῖς καλοποιοῖς συνάπτουσα ἐν ταῖς στρατηγικαῖς καταρχαῖς ἀγαθὴ πρὸς εὐπραγίαν καὶ εὐτυχίαν, κακοποιοῖς δὲ συμβάλλουσα κακὴ καὶ ἀνεπιτήδειος. τοῦ δὲ Ἡλίου ἀπορρέουσα ἡ Σελήνη καὶ φερομένη ἐπὶ τὴν Ἀφροδίτην, αὐτῆς τῆς Ἀφροδίτης μηδὲν καταβλαπτομένης ὑπὸ τῶν κακοποιῶν, τιμὴν καὶ δόξαν καὶ ἔπαινον παρέχει τοῖς ἄρχουσι. ἐὰν δὲ ἡ Ἀφροδίτη βλάπτηται ὑπὸ τῶν φθοροποιῶν, ἢ ἐν οὐ καλῷ τόπῳ εἱστήκει, κακεμφάτους καὶ ἀντιλογιστὰς καὶ θρασυδείλους ποιεῖ τοὺς στρατιώτας. τῆς Ἀφροδίτης ἀπορρέουσα ἡ Σελήνη, οὐ καλῶς κειμένης τῆς Ἀφροδίτης, δυσεπιτεύκτους καὶ ἀτυχεῖς ποιεῖ τοὺς στρατιώτας. ἀπὸ δὲ τοῦ Ἑρμοῦ ἀπορρέουσα ἡ Σελήνη, τοῦ Ἑρμοῦ καλῶς κειμένου, εὐτυχεῖς καὶ ἐπιτευκτικοὺς παρασκευάζει τοὺς στρατηγούς οἱ φωστῆρες ἐν ἀγαθοποιοῖς τόποις ἐρχόμενοι καλοὶ καὶ ἐπί-

---

1 *νικοποιή* S 2 *ἐντίθησι* p 3 *Διὸς ἐπὶ τὴν Ἀφροδίτην* S, *Ἑρμῆ* p 4 *διαδάτων* Ap 5 *εὐτυχίας* S 6 *ὄντων τῶν ἀμφ.* S 9 *ὑποψόγους* A, *ποψόγους* p *ἑῶον* p 10 *ποιῶσιν* S 12 *Ἄρεα* p 21 *ἀγαθὴν* p 24 *καταλαμπομένης* Ap 25 *τιμὴν καὶ δόξαν* om. S *ἡ* om. p 28-30 *οὐ καλῶς - ἡ Σελήνη* om. S 32 *ἀγαθοποιῷ τόπῳ* S *ἐρχόμενοι - φωστῆρες* om. p

δοξοι · ἐὰν δὲ οἱ δύο φωστῆρες κακωθῶσιν ὑπὸ Ἄρεως ἢ Κρόνου, φρενοβλαβεῖς καὶ κακοτρόπους ποιοῦσι τοὺς ἡγεμόνας. οἱ κακοποιοὶ ἐπὶ τὰ κέντρα ἐρχόμενοι καὶ ἐπισφαλεῖς καὶ πάσης ἀδοξίας ἐπίμεστοι, καὶ μάλιστα τῶν καλοποιῶν ἀποστρόφων ὄντων.

31. *Περὶ τριγώνων.*

Κρόνος Διὶ τρίγωνος ἐν ταῖς τοιαύταις καταρχαῖς ἱκανωτάτους καὶ ἰσχυροτάτους τοὺς ἡγεμόνας καθίστησι καὶ εὐνοϊκωτάτους τοῖς αὐτῶν βασιλεῦσι μετὰ καὶ τῆς τῶν ἐχθρῶν ἐπικρατείας · εἰ δὲ καὶ ὁ Ἑρμῆς τούτοις συσχηματισθῇ, ἀγχίνους καὶ ἐπινοητικοὺς τοὺς τοιούτους δείκνυσιν. εἰ δὲ καὶ Ἄρης καλῶς κείμενος τούτοις συσχηματισθῇ, καὶ δι' αἱμάτων τὴν νίκην ποιεῖ · πλὴν φόνους καὶ μέμψεις περιποιεῖ ἐν ταῖς πράξεσιν. Ἄρης Κρόνῳ τρίγωνος ἐν τοῖς τοιούτοις ἐνεργεστέραν τὴν πρᾶξιν ποιεῖ. Κρόνος Ἡλίῳ τρίγωνος ἐν ταῖς πολεμικαῖς καταρχαῖς προκοπὰς καὶ δόξας ποιεῖ · εἰ δὲ καὶ ἐν τῷ φανερῷ ἡμισφαιρίῳ, πολὺ κρεῖττον. Κρόνος Ἀφροδίτῃ τρίγωνος ἐν ταῖς τοιαύταις θέσεσιν εὐστάθειαν καὶ σεμνοπρέπειαν τοῦ στρατοῦ ποιεῖ. Κρόνος τῷ Ἑρμῇ τρίγωνος συνετοὺς καὶ ἐμπείρους ἀποδείκνυσι τοὺς ἡγεμόνας διὰ λόγων μᾶλλον καὶ ἐπινοιῶν · εἰ γὰρ δι' αἱμάτων, τὰς νίκας ἐπινοουμένους. Κρόνος Σελήνῃ τρίγωνος λαμπρὰς καὶ μεγάλας τὰς νίκας παρέχει καὶ μάλιστα τοῖς φωσὶν αὔξουσα · λείπουσα δ' ἐλαττοῖ τὰ προειρημένα.

Ζεὺς Ἄρει τρίγωνος δραστηρίους καὶ ἐπιτευκτικοὺς ποιεῖ τοὺς στρατηγούς. Ζεὺς Ἡλίῳ τρίγωνος λαμπρότητα καὶ εὐδαιμονίαν τῶν ἡγουμένων σημαίνει καὶ δόξαν καὶ τιμὴν τοῖς βασιλεῦσι. Ζεὺς Ἀφροδίτῃ τρίγωνος χαριεῖς καὶ ἱλαροὺς καὶ ἠγαπημένους τοὺς ἡγεμόνας καθίστησιν. Ζεὺς τῷ Ἑρμῇ τρίγωνος ἐπινοητικὸν καὶ ἔμπρακτον τὸν στρατηλάτην δείκνυσιν. Ζεὺς Σελήνῃ τρίγωνος ἔνδοξον καὶ πολύγνωστον καὶ ἐπιεικῆ τὸν στρατηγὸν καθίστησι,

---

1 *καὶ Κρόνου* A 2 *ποιεῖ* S 4 *κακοποιῶν* codd., corr.
Cap. 31. — A, f. 345 ; S, f. 250, p. f. 11. — Cf. *Cat. codd. astr.*, I, p. 204. 9 *εὐνοηκοτάτους* S, *εὐνοητάτους* p 10 *τοῖς* om. Sp 11 *τούτοις* Ap, *τούτ* S 14 *καὶ μέμψεις* om. S An *Ἄρει Κρόνος τρίγωνος* ? 15 *Κρόνος Ἡλίῳ* SA, *Ἄρις Ἡλίῳ* p 17 *κρεῖττον* A, *κρείττω* Sp 20 *καὶ* om. Ap *ὑποδείκνυσι* S 21 *εἰ γὰρ* Ap, *ἢ γὰρ* S 24 *Ζεὺς Ἄρει* p, signa Jovis et Martis A, signa Jovis et Veneris S ; cf. l. 27 27 *χαριεῖς* p, *χαρίεις* A, *χάρις* S 28 *τῷ τοῦ Ἑρμοῦ* codd.

τὸ δὲ στρατόπεδον πειθήνιον τοῖς στρατοπεδάρχαις καθίστησι, καὶ μᾶλλον ὅταν αὐξιφωτῇ ἡ Σελήνη. Ἄρης Ἡλίῳ τρίγωνος δραστήριον καὶ θυμικὸν τὸν στρατηγὸν δείκνυσιν.

Ἄρης Διὶ τρίγωνος, τοῦ Διὸς ἐπικέντρου ὄντος καὶ τῆς Σελήνης καλῶς ἑστώσης, καὶ τοῖς στρατηγοῖς καὶ τῷ στρατοπέδῳ δόξαν καὶ νίκην παρέχει καὶ μᾶλλον ὅταν ἐπὶ ἀρσενικῶν τύχωσι ζῳδίων. Ἄρης Ἀφροδίτῃ, τρίγωνος δυναμικοὺς καὶ ῥωμαλεωτάτους τοὺς ἡγεμόνας ποιεῖ καὶ μεγαλόφρονας. Ἄρης Ἑρμῇ τρίγωνος ἐμπράκτους καὶ εὐτυχεῖς ἐν πολέμοις καὶ ὀξεῖς καθίστησι τοὺς στρατιώτας. Ἄρης Σελήνῃ τρίγωνος λειψιφωτούσῃ ὀξυπραγίαν τοῦ στρατοῦ σημαίνει καὶ εὐτυχίαν, Διὸς δὲ ἐπιβλέποντος, προστίθησι λαμπρότητα.

Ἥλιος καὶ Σελήνη ἀλλήλοις τριγωνίζοντες, καὶ ὑπὸ καλοποιῶν μαρτυρούμενοι, καλοὶ καὶ εὐδόκιμοι.

32. Περὶ τετραγώνων.

Κρόνος ἐπιδεκατεύων Δία ἐπὶ τῆς πολεμικῆς καταρχῆς ἐλαττοῖ τὴν νίκην, καὶ ἐναντιοβουλίαν καὶ ἀντιλογίαν ἐνσπείρει τῷ στρατῷ, καὶ ἐγκοπὴν παρέχει τῶν πράξεων, καὶ διεγείρει στάσεις. Ζεὺς ἐπιδεκατεύων Κρόνον ἐν τῇ τοιαύτῃ καταρχῇ ἧττονα τὰ προειρημένα ποιεῖ, εὔνοιαν δὲ ἔχειν πρὸς τοὺς κρατοῦντας παρασκευάζει τὸν στρατόν. Κρόνος ἐπιδεκατεύων Ἄρεα ἐν τῇ πολεμικῇ καταρχῇ χαλεπός· ἀπραγίαν γὰρ καὶ λύπην ἐμποιεῖ τῷ στρατῷ καὶ πολλὴν ἀδημονίαν.

---

2 *αὐξιφωτῇ* S 3 *θυμικὸν* Ap, *θεμιστόν* S 4 *τοῦ Διὸς* om. S *καλῶς* om. S 6 *ἐπὶ ἀρσενικοῖς τύχωσι ζῳδίοις* S 7 *ῥωμαλαιοτάτους* A *τοὺς* om. S 8 *Ἄρης καὶ Ἑρμῆς* SA, *Ἄρις καὶ Ἑρμῆς* p 10 *τριγώνων* p *λειψοφοτούσης* codd. 12 *ἀλλήλοις*

Cap. 32. A, f. 345ᵛ, S, f. 250ᵛ, p, f. 11ᵛ. — Cf. *Cat. codd. astrol.*, II, p. 206.

15 *Δία* et alibi planetarum nomina, totis litteris scripta, accusativo gaudent in SA ; accusativumque declarant interdum articulorum formae planetarum signis praemissae— haec in SA. In p contra crebrior dativus cum *ἐπιδεκατεύω* et *διαμετρέω* vocibus. Singula quaeque iam non enotabo. 16 *ἐναντιβουλίαν* S 17 *ἐκκοπήν* S 18 *τοιαύτῃ*, sc. *πολεμικῇ* 19 *πρὸς* Ap, Iovis signum S 21 *χαλεπός - λύπην* Ap, *χαλεπὴν ἀπολογίαν καὶ λύπην* S *ποιεῖ* S

Ἄρης ἐπιδεκατεύων Κρόνον καὶ τὸν στρατηγὸν προαναιρεῖ, καὶ ἐχεχειρίαν παρέχει τῷ στρατοπέδῳ μετὰ πολλοῦ φθόνου καὶ ἔριδος.

Ἥλιος ἐπιδεκατεύων Κρόνον ἐν ταῖς ἐπιστρατείαις τὰ τοῦ δημοσίου χρήματα διασκεδάζει, καὶ τοὺς συνασπιστὰς εἰς τοὺς ἐχθροὺς μετατίθησιν, καὶ ἐλαττοῖ τὰς εὐτυχίας.

Κρόνος ἐπιδεκατεύων Ἥλιον στάσεις καὶ τυραννίδας ἐγείρει κατὰ τοῦ βασιλέως, τυχὸν δὲ καὶ ἀναίρεσιν αὐτοῦ παρασκευάζει.

Κρόνος ἐπιδεκατεύων Ἀφροδίτην ἔκπτωσιν δηλοῖ τοῦ στρατοπέδου καὶ πένθος καὶ ῥᾳθυμίαν μετὰ δυστυχίας, τοὺς δ' ἡγεμόνας ποιεῖ διαψευσθῆναι τῆς ἐλπίδος.

Ἀφροδίτη ἐπιδεκατεύουσα Κρόνον ἔνδοξον τὴν ἐπιστρατείαν ποιεῖ.

Κρόνος ἐπιδεκατεύων Ἑρμῆν ἐνατιώσεις πολλὰς καὶ καταψύξεις καὶ ῥᾳθυμίας ἐντίθησι τῷ στρατῷ. Ἑρμῆς ἐπιδεκατεύων Κρόνον οὐκ ἀγαθοῖ μὲν, εἶτα δὲ κακοῖ τὰ προειρημένα.

Σελήνη ἐπιδεκατεύουσα Κρόνον ἀπραγίαν καὶ ῥᾳθυμίαν τοῦ στρατοῦ σημαίνει.

Κρόνος ἐπιδεκατεύων τὴν Σελήνην θνήσεις τῶν τοῦ στρατοῦ κτηνῶν ἐμποιεῖ, ἐὰν δὲ καὶ ἐπὶ θηλυκοῦ ζῳδίου ἔτι χεῖρον.

Ζεὺς ἐπιδεκατεύων Ἄρη ἔνδοξον καὶ ἐπιφανῆ τὸν στρατηγὸν καθίστησι, τὸν δὲ στρατὸν ἐνισχύει κατ' ἐχθρῶν.

Ἄρης ἐπιδεκατεύων τὸν Δία θρασεῖς καὶ ὁρμητὰς καὶ παραβολωτάτους καθίστησι τοὺς στρατιώτας, πλὴν σφαλλομένους ἔν τισιν.

Ἥλιος ἐπιδεκατεύων τὸν Δία λαμπρότατον καὶ μεγαλοπρεπῆ τὸν στρατηγὸν σημαίνει, πλὴν μειοῖ αὐτοῖ τὰ χρήματα ἐπὶ τῇ τῶν ἐχθρῶν ἀμύνῃ.

---

1 *προανερεῖ* A 2 *καὶ οὐκ ἐγχειρίαν* S *τὸ στρατόπεδον* AS, *τῷ στρατόπεδόν* p 2-3 *μετὰ - ἔριδος* A, *μετὰ πολλοῦ φόβου* (2. man. *φθόνου*) *καὶ ἔριδος* p, *φθόνους καὶ ἔριδας* S 4 *ἐν ταῖς ἐπιστρατείαις* Ap, *τῆς ἐπιστρατείας* S 5 *εἰς τοὺς εἰς* Ap 8 *τυχὼν* p 10 *πένθη* p 11 *διαψευσθῆναι* A, 2 man. ; *δαψιλευθῆναι* SAp 14 *πολλὰς καὶ* S, *πολλὰς* Sp 16 *ἀγαθοὶ* S, *ἀγαθὸς* sed in correctura A, *ἀγαθοὺς* p *κακοὶ* AS, *κακοῖ* A 17 *τῶν προειρημένων* codd. 20 *τῆς σελήνης* AS, *τῇ Σελήνῃ* p *θνῆσις* p *τῶν* om. Ap 21 *καὶ κτηνῶν* Ap ; sed *τῶν κτηνῶν τοῦ στρατοῦ* 2 man. A 20 *χείρω* p 22 *καθίστησι* Sp, *ποιεῖ καὶ* A *τὸν δὲ* Sp, *τὸν* A *ἐνισχύειν* S 24 *ἔν τισιν* Ap, *καθίστησι* S 25 *Ἥλιος* AS, *Σελήνη* p 26 *μειοῖ - ἀμύνῃ* Ap, *πλὴν χρήματα ἐπὶ τῶν ἐχθρῶν ἀμύνει* S

Ζεὺς ἐπιδεκατεύων Ἥλιον <τοῖς> ἡγεμόσι καὶ τοῖς στρατιώταις ἀγαθὰ σημαίνει.

Ζεὺς ἐπιδεκατεύων Ἀφροδίτην σπονδὰς καὶ διαθήκας ποιεῖ ἐν ταῖς ἐπιστρατείαις. Ἀφροδίτη ἐπιδεκατεύουσα τὸν Δία μωροὺς καὶ εὐθαρσεῖς ποιεῖ τοὺς στρατιώτας.

Ζεὺς ἐπιδεκατεύων Ἑρμῆν διὰ μηχανημάτων καὶ ἐπινοιῶν παρέχει τὰς νίκας.

Ἑρμῆς ἐπιδεκατεύων τὸν Δία ἀδιακρίτους καὶ ἀδικητὰς καθίστησι τοὺς ἡγεμόνας καὶ ἀφαιρουμένους καὶ νοσφιζομένους τὰ τοῦ στρατοῦ λάφυρά τε καὶ σκῦλα.

Ζεὺς ἐπιδεκατεύων τὴν Σελήνην τοῖς ἡγεμόσι καὶ τοῖς στρατιώταις καλοποιεῖ· δόξαν γὰρ καὶ νίκην παρέχει.

Σελήνη τὸν Δία ἐπιδεκατεύουσα εἰς πάντα καλὴ καὶ δοξαστική, καὶ βοηθεῖ τοῖς ἡγεμόσι.

Ἥλιος ἐπιδεκατεύων τὸν Ἄρεα οὐδὲ τοῖς ἡγεμόσιν οὐδὲ τοῖς στρατιώταις ἀγαθόν· σκυλευθῆναι γὰρ ποιεῖ τὸ στρατόπεδον καὶ ἀντιλογίας ἐνσπείρει.

Ἄρης ἐπιδεκατεύων τὸν Ἥλιον νόσον ἐνσκήπτει τῷ στρατῷ.

Ἄρης ἐπιδεκτατεύων Ἀφροδίτην πονηρὸς πάνυ καὶ ἀνιαρός, καὶ ἐναντιώσεις ποιεῖ· εἰ δὲ ἐν τροπικοῖς ὢσι ζῳδίοις, ῥαθύμους καὶ χαύνους καθιστᾶσι τοὺς στρατιώτας.

Ἀφροδίτη ἐπιδεκατεύουσα τὸν Ἄρεα τὰ προειρημένα ποιεῖ.

Ἄρης ἐπιδεκατεύων τὸν Ἑρμῆν πολλῶν κακῶν αἴτιος γίνεται· βλάπτει γαρ καὶ συνοχὰς ἐπάγει, καὶ τὰς πολεμικὰς πράξεις ἐμποδίζει.

Ἑρμῆς ἐπιδεκατεύων Ἄρεα ἅρπαγας καὶ νοσφιστὰς καθίστησι τοὺς στρατιώτας.

Ἄρης τὴν Σελήνην ἐπιδεκατεύων τοὺς στρατιώτας ποιεῖ σκυλεύεσθαι καὶ ῥιψάσπιδας γενέσθαι, χείρονα δὲ ἔσται τὰ κακά, ὅταν ὁ Ἄρης ἐν Κρονικοῖς ὑπάρχῃ τόποις, καὶ ἡ Σελήνη ἐν Ἑρμαικοῖς ἢ ἐν Ἀρεωτικοῖς ὑπάρχῃ τόποις.

Σελήνη ἐπιδεκατεύουσα τὸν Ἄρεα ἀπανθρωπίαν καὶ ἀνικανίαν

---

4 *στρατείας* S *δεκατεύουσα* Ap *μωροὺς* om. Ap 5 *εὐθαρσοὺς* S 12 *καὶ δόξαν*, omisso *γάρ*, A *δόξαν καὶ*, omisso *γάρ*, p *παρέχει καὶ νίκην* A 13 *πρὸς πάντα* p 18 *τὸν* om A 19 *πονηροὺς* S *ἀνιαροὺς* S 20 *ἐναντίωσιν* S *εἰ* om. S *καὶ ἐν* p *ὦσι* Sp, *ὑπάρχουσι* A 23 *γίνεται* om. S 24 *τὰς πολεμικὰς* om. S 27 *τὴν Σελήνην* Ap, *τὸν Δία* S 29 *ὑπάρχων* Ap : 0 *ἀραιωτικοῖς* S *ὑπάρχῃ τόποις* A, *ὑπάρχων τόποις* p 31 *ἀνικανίαν* Ap, *ἀνικωΐα* (= *ἀνηκοίαν*?) S

τῶν ἡγεμόνων σημαίνει μετὰ καὶ τῆς τοῦ στρατοῦ δυστυχίας καὶ ἐκεχειρίας.

Τὰ φῶτα ἄλληλα ἐπιδεκατεύοντα καὶ ἐπίκεντρα μὲν ὑπὸ καλοποιῶν μαρτυρούμενα ἔμπρακτον καὶ ἔνδοξον τὴν ἐπιστρατείαν σημαίνει, ὑπὸ δὲ κακοποιῶν μαρτυρούμενα κίνδυνον τοῦ στρατοῦ σημαίνει. ἐὰν δὲ ἀποκέκλικε τὰ φῶτα ἐν τῇ ἐπιδεκατεύσει μετὰ καλῆς μαρτυρίας, μεσότητα τῶν πραγμάτων δηλοῖ.

Ἑρμῆς καὶ Ἀφροδίτη ἀλλήλους ἐπιδεκατεύσαντες διὰ ὑδάτων τὰς νίκας παρέχουσιν.

Σελήνη ἐπιδεκατεύσασα τὴν Ἀφροδίτην εὐτυχίαν τῷ στρατῷ σημαίνει.

Ἀφροδίτη ἐπιδεκατεύσασα τὴν Σελήνην ἀλλεπαλλήλους παρέχει τὰς νίκας καὶ περιποίησιν ἀνδραπόδων ποιεῖ. Ἀφροδίτη ἐπιδεκατεύσασα τὴν Σελήνην διὰ μηχανίας καὶ ἐπινοίας ποιεῖ τὴν νίκην· ἐν ταύτῃ δὲ τῇ θέσει καὶ ἂν ὁ Ἑρμῆς ὑπὸ φθοροποιοῦ δεκατεύηται, διὰ δόλου τὴν νίκην παρασκευάζει.

33. Περὶ διαμέτρων.

Κρόνος διαμετρῶν τὸ Λία λύπην τῷ στρατῷ παρέχει· ἐὰν δὲ Κρόνος ὡροσκοπῇ, Ζεὺς δὲ δύνῃ ὄψιμον τὴν νίκην παρέχει. Κρόνος διαμετρῶν τὸν Ἄρεα ἐναντιώτητας καὶ ταραχὰς καὶ στάσεις ἐμποιεῖ τῷ στρατῷ, καὶ κατὰ τῶν ἡγεμόνων τυραννίδα ἐγείρει. εἰ δὲ καὶ ἐπίκεντροι ὦσιν ἀλλήλους διαμηκίζοντες, φθορὰν τῷ στρατῷ μηνύουσιν. ἐν δὲ ταῖς ἐπαναφοραῖς τὰς ἐλπίδας ἐκκόπτουσι

---

1 *ἡγουμένων* S 2 *ἐνκεχερίας* S 3 *ἀλλήλων* Ap *ἐπιδεκατεύονται* S *καὶ* om. S 5 *τοῦ στρατοῦ* om. S 6 *ἀποκέκληκε* Sp *ἐπιδεκατήσει* S, *ἐπιδεκατωσει* A, *ἐπιδεκατώσῃ* p 8 *ἀλλήλοις* Ap *ἐπιδεκατεύοντες* Ap *διὰ ὑδάτων* S, *διαδάτων* Ap ; An *διὰ δόλων* ? Cf. p. 245, 4. 10 *ἐπιδεκατεύουσα* Ap 12 *ἐπιδεκατεύουσα* Ap 13 *ἀνδραπόδων* A, *ἀνδραπόδῳ* p *ἀνδραποδώδη* S *Ἑρμῆς* signo scriptum (pro *Αφρ*) AS 14 *ἐπιδεκατήσασα* S, *ἐπιδεκατεύων* Ap 15 *καὶ ἂν* S, *ἐὰν* Ap

Cap. 33. S, f 252, A, f. 346 ; p, f. 13. Cf. *Cat. codd. astr* , II, p. 209. 18 *λύπην* om. S 19 *ὡροσκοπῶν* p *δύνει* Ap *παρέχει* p, *ποιεῖ* S, *παρέχει ἢ ποιεῖ* A 20 *καὶ ταραχὰς* Ap, *καταρχὰς* S 22 *ἐπίκεντρος* p *ὦσιν* Sp, *εἰσίν*, A *ἀλλήλοις* A *διαμωχίζοντες* S

τοῦ στρατοῦ, ἐν δὲ τοῖς ἀποκλίμασιν ἑστῶτες ἐλάττω μὲν βλάπτουσι, λύπας δὲ καὶ μόχθους καὶ διαπτώσεις ἐπιφέρουσιν.

Κρόνος Ἥλιον διαμετρῶν, Διὸς αὐτοῖς μὴ μαρτυροῦντος, θάνατον στρατηγοῦ σημαίνει καὶ τοῦ στρατοῦ πολλὴν ἀγωνίαν, καὶ μάλιστα ἐπὶ θηλυκῶν ζῳδίων. Κρόνος Ἀφροδίτην διαμετρῶν ἄδικον στρατηγὸν καὶ ἅρπαγας τοὺς στρατιώτας σημαίνει. Κρόνος Ἑρμῆν διαμετρῶν σκύλευσιν τῶν στρατιωτῶν σημαίνει καὶ λύπην πολλήν· εἰ δὲ καὶ ἐπὶ τετραπόδων ζῳδίων ἑστήκασι, φθορὰν τῶν ἵππων καὶ τῶν ἡμιόνων ποιοῦσιν· εἰ δὲ ἀνθρωποειδῆ τὰ ζῴδια ᾖ, ἐκ τῶν ἐχθρῶν ἔσται αὐτοῖς ἡ ἐπαγωγή· εἰ δὲ κάθυγρα τὰ ζῴδια, ἐκ ποταμῶν καὶ χειμόνων ἔσται αὐτοῖς ἡ συμφορά. Ζεὺς διαμετρῶν τὸν Ἄρεα λιποτάκτας καὶ ῥιψόπλους ἐν ταῖς παρατάξεσι ποιεῖ γενέσθαι τοὺς στρατιώτας. Ζεὺς Ἥλιον διαμετρῶν οὐκ ἀγαθός· ποιεῖ γὰρ τοὺς στρατιώτας ὑπὸ τῶν ἐναντίων σκυλεύεσθαι. Ζεὺς Ἀφροδίτην διαμετρῶν οὐκ ἀγαθός· στασιαστὰς γὰρ ποιεῖ τοὺς στρατιώτας ἢ καὶ ἐναντιολάλους. Ζεὺς Ἑρμῆν διαμετρῶν διὰ μηχανῆς καὶ δόλων ποιεῖ τὴν νίκην, καὶ οὐκ εὔχρηστον δίδωσι τέλος. Ζεύς τὴν Σελήνην διαμετρῶν ἀνατολικὴν οὖσαν καλός· θάρσος γὰρ ἐντίθησι τοῖς στρατιώταις· εἰ δὲ δυτικὴν καὶ τοῖς φωσὶν ἀφαιροῦσαν, ἐγείρει καὶ τυραννίδα κατὰ τῶν ἡγεμόνων. εἰ δὲ καὶ ὕπαυγος ἔσται ἡ Σελήνη, ἐναντιότητα καὶ διάπτωσιν τοῦ στρατοῦ σημαίνει.

Ἄρης τὸν Ἥλιον διαμετρῶν κακοθάνατον τὸν στρατηγὸν σημαίνει, καὶ τὸν στρατὸν δυσεπίτευκτον ποιεῖ. Ἄρης Ἀφροδίτην διαμετρῶν ἀκαταστασίαν τοῦ στρατοῦ σημαίνει. Ἄρης Ἑρμῆν διαμετρῶν ποιεῖ τὴν νίκην διὰ δόλων, καὶ μάλιστα ὅταν ᾖ ἐν ὁρίοις τοῦ Κρόνου ἢ ἐν οἴκοις Ἑρμοῦ. Ἄρης Σελήνην διαμετρῶν κακός· κίνδυνον γὰρ εἰς τὸν στρατὸν σημαίνει.

---

1 *τοῖς* Ap, *ταῖς* S 4 *πολὺν ἀγῶνα* Sp 8 *δὲ* om. S *ἑστήκασι* Ap, *εἵκασιν* S 9-10 *εἰ δὲ ἀνθρωποειδῆ ἐπαγωγή* om. S 11 *Διὸς Ἄρεα διαμετροῦντος* S (e signi interpretatione) 12 *λιποτάκτας* om. S, *τὸ λιποτάκτας* p *ποιεῖ* om. S 13 *οὐκ ἀγαθός* unus exhibet A 14 *γάρ* om. Sp 15 *οὐκ ἀγαθός* Ap, om. S *στασιαστὰς γὰρ* Ap, *οὐ στασιαστὰς* S 17 *δόλων* A, *δόλου* A, *δάτων* p ; cf. p. 215, 4. 18 *καλός ἐστι* A, *καλῶς* Sp 19 *γὰρ* om. S *τοὺς στρατιώτας* Sp *δυτικὴ* Sp 20 *ἀφαιροῦσα* Sp *τυραννίαν* p 26 *διὰ δόλον* p, *διὰ δόλου* A *διὰ δόλου ποιεῖ τὴν νίκην* A 27 *ἐν οἴκοις* A, *οἴκοις* Sp 28 *γὰρ τῷ στρατῷ* Ap

Ἀφροδίτη Σελήνην διαμετροῦσα οὐκ ἀγαθὴ πρὸς ἐπιρριφὰς καὶ ἐνέδρας.

Ἑρμῆς διαμετρῶν Σελήνην δειλίαν ἐντίθησι τῷ στρατῷ.

34. *Περὶ ἐξαγόνων.*

Οἱ ἀστέρες ἀλλήλους ἐξαγωνίζοντες τὰ αὐτὰ ποιοῦσιν ἃ καὶ οἱ τριγωνίζοντες, ἐλάττονα δὲ μικρὸν ἐπὶ τὸ ἀγαθὸν καὶ τὸ κακόν.

35. *Περὶ πολέμου κατὰ Θεόφιλον.*

Ὅταν τις εἰς πόλεμον ἐξέλθῃ, καὶ ἐπιστρατεύσασθαι βούληται τοὺς ἐχθρούς, σκέπτου οὕτως. ἔστω σοι ὁ πόλεμος <ὁ> Ἄρης, ὁ δὲ ἐπιστρατευόμενος <ὁ> ἀστὴρ, οὗ ὁ Ἄρης ἀπέρρευσεν, ὁ δὲ ἀντιστρατευόμενος ὁ ἀστὴρ, ᾧ ὁ Ἄρης συνάπτει. ἐὰν οὖν Ζεὺς ἀπὸ τοῦ Κρόνου ἢ τοῦ Ἑρμοῦ λιβικοῦ ὄντος φέρηται, ὁ Ἄρης, ὁ ἐπιστρατευόμενος, βλαβήσεται καὶ τροπὴν ὑπομενεῖ. ἐὰν δὲ αὐτῷ τῷ Κρόνῳ ἢ τῷ Ἑρμῇ λιβικῷ ὄντι συνάπτει ὁ Ἄρης, ὁ ἀντιστρατευόμενος βλαβήσεται, καὶ τραπήσεται. ἐὰν δὲ αὐτὸς ὁ Ἄρης ἀδικῆται, ἢ ὕπαυγος ὢν ἢ ἐμπεριεχόμενος μεταξὺ Ἡλίου τε καὶ Σελήνης, ὁ πόλεμος οὐκ εὔθετος οὔτ' ὠφέλιμος οὔτε τῷ πολεμοῦντι οὔτε τῷ πολεμουμένῳ. ἐὰν δὲ Ἄρης ἀπὸ καλοποιοῦ

---

1 *διαμετροῦσα τὴν Σελήνην* Ap *καὶ ἐπιριφὰς* S, omisso *πρός*. Cap. 34. S, f 252ᵛ ; A f. 246ᵛ, f 13ᵛ.

Cap. 35. S, f. 253 ; P, f. 110 ; A, f. 337ᵛ ; p, f. 13ᵛ. *Περὶ πολέμου* S, *ἄλλως περὶ πολέμου* p 8 *βούλεται* Sp, *βούληται* P sed post *ἐχθρούς* 9 *τοὺς* om. Sp 9-10 *ὁ* addidi bis 10 *ἐπιστρατεύων δὲ* P *οὗ* SpA, *ἐφ' ᾧ* P *ἀπέρευκεν* Sp 11 *ἀντιστρατεύων δὲ ἀστὴρ ᾧ* P, *ὁ δ' ἐάν τι στρατευόμενος* p *οὖν* om. S 12 *ἀπὸ* om. S, *ἐὰν ἀπὸ τοῦ Κρόνου* p, *καὶ ἐὰν ἀπὸ τοῦ κυρίου* P *λυβικοῦ* S *ὄντως* S *φέρεται* APp, *φαίρεται* S 13 *ὁ ἐπιστρατεύων* P *ὑπομείνει* S, *τροπὴν ὑπομείνῃ* p, *τροπὴν ὑποστῇ* P 14 *αὐτῷ δὲ* Pp *λιβὺηνον τι* p 15 *ἀντιστρατεύων* P, *ἐπιστρατευόμενος* S *καὶ τραπήσεται* SAp, *τὰ ὅμοια πάθη* P *δὲ* om. S, *δὲ αὐτὸς* om. P 16 *ἀδικεῖται* SP, *ἀδικται* p *ἢ* Ap, *ἤτοι* SP 17 *τε* om. P *Σελήνης* et A, sed in marg., in textu *Κρόνου* 18 *δὲ* om. SP

ἐπὶ καλοποιὸν φέρηται, καὶ τῷ πολεμοῦντι καὶ τῷ πολεμουμένῳ λυσιτελεῖ· εἰς εἰρήνην γὰρ καὶ εἰς σπονδὰς τρέπεται τὰ ἀμφότερα μέρη ἐὰν δὲ τὸ τοῦ Ἄρεως δωδεκατημόριον πέσῃ εἰς ὅριον Διός, τοῦ Διὸς λόγον ἔχοντος πρὸς τὸν ὡροσκόπον καὶ τὸ μεσουράνημα καὶ τὸ δεύτερον ζῴδιον ἀπὸ τοῦ ὡροσκόπου, ὁ πολεμῶν νικήσει. εἰ δὲ καὶ τοὐναντίον τοῦ Διὸς λόγον ἔχοντος πρὸς τὸ δῦνον καὶ τὸ ὄγδοον ζῴδιον καὶ τὸ ὑπὸ γῆν, ὁ πολεμούμενος νικήσει. ἐὰν τὸ τοῦ Ἄρεως δωδεκατημόριον εἰς ὅριον Κρόνου πέσῃ, τοῦ Κρόνου λόγον ἔχοντος πρὸς τὸ δῦνον καὶ τὸ ὄγδοον ζῴδιον καὶ τὸ ὑπὸ γῆν, ὁ πολεμούμενος νικήσει. ἐὰν τὸ τοῦ Ἄρεως δωδεκατημόριον εἰς ὅριον Κρόνου λόγον ἔχοντος πρὸς τοὺς προρρηθέντας τόπους, εἰς οὓς ἔχει λόγον ὁ Ἄρης, ἐνσπείρει φόβον καὶ δειλίαν, ἤτοι δυοῖν θατέρῳ τῶν ἑκατέρων μερῶν. ἐὰν τὸ τοῦ Κρόνου δωδεκατημόριον εἰς τὸ τῆς Ἀφροδίτης πέσῃ ὅριον, καὶ λόγον ἔχῃ ἡ Ἀφροδίτη ἐν ἑνὶ τῶν προειρημένων μερῶν, αὐτὸ τὸ μέρος, οὗ ἐπέχῃ τὸν λόγον, προτείνει τὴν εἰρήνην τῷ ἑτέρῳ μέρει, καὶ τοῦτο αἰτεῖται· κἂν τὸ τοῦ Ἄρεως δωδεκατημόριον πέσῃ εἰς τὸ τοῦ Ἑρμοῦ ὅριον, τοῦ Ἑρμοῦ λόγον ἔχοντος ἐν ἑνὶ τῶν προειρημένον μερῶν, μηχανὰς καὶ τρακταϊσμοὺς πορίζει ἐκείνῳ τῷ μέρει.

36. Ἐάν τις τυραννῆσαι θέλῃ καὶ ἑαυτὸν ἐλευθερῶσαι ἀπὸ ὑποταγῆς τῶν κρατούντων.

Ἐάν τις περὶ τυραννίδος σκέπτηται, ἔστω ἡ Σελήνη ἀκάκωτος

---

1 φαίρεται S 2 σπονδὰς φιλικὰς P τρέπεται SAp, φέρεται P 3 τοῦ Διὸς ASp, τούτου P τὸ μεσουράνημα P τὸν μεσουραιανοῦντα S τὸ μεσουρανοῦν p 5-7 εἰ δὲ - νικήσει om. P 8 εἰς ὅριον πέσῃ Κυρίου P τοῦ Κρόνου om. P, τὸν Κρόνον p 9 πρὸς APp, καὶ S 9-11 τὸ δῦνον - ἔχοντος πρὸς om. ASp 11 κυρίου λόγον P προρρηθέντας om. S 12 εἰς om. p ἔχει λόγον p, λ. ἔσχεν P, λόγον ὁ Κρόνος S ἐνσπείρει φόβους om. S, ἐν. φόβον A δειλίας S 12-13 ἤτοι - μερῶν ASp, δυοῖν τοῖν μεροῖν P Κρόνου A, Ἄρεως P 14 τῆς Ἀφροδίτης πέσῃ ὅριον P λόγον ἔχει Sp, ἔχῃ λόγον P 15 αὐτοῦ Pp οὗ APp, ἐὰν S ἐπέχει APp 16 τὴν εἰρημένην p τούτων Ap, ταύτην P αἰτήσεται P 17 πέσῃ et sequitur Veneris compendium in S 17-18 τοῦ Ἑρμοῦ (ante λόγον) om. P 18 ἐν SPp, καὶ ἐν A ἐνὶ - μερῶν ASp, εἰς ἓν τῶν προειρημένων κέντρων P μηχανὰς om. S

Cap. 36. S, f. 253v ; p, f. 14 ; Φ, f. 378v. 22 ἔστω cett., ὅταν S, saepius

καὶ ἐφοράσθω ὑπὸ τῶν καλοποιῶν· οὕτως γὰρ παράμονος ἔσται ἡ τυραννὶς καὶ ἡ αὐτονομία. ἐὰν δὲ ἡ Σελήνη τῶν καλοποιῶν ἀπορρῇ, κακοποιῷ δὲ συνάπτῃ, ἡ προτέρα ὑποταγὴ τῆς τυραννίδος ἔσται κρείττων. πάλιν ὁ τύραννος ἔστω ὁ ὡροσκοπῶν, ὁ δὲ τυραννούμενος ὁ δύνων, τὸ δ' αἴτιον, δι' οὗ ἡ τυραννίς, ἀπὸ μέσου, ποταπὴ δὲ ἀποβήσεται αὐτῷ ἡ τυραννίς, ἀπὸ τοῦ ὑπογείου σκέπτου. σκέπτου δὲ καὶ τὰ δύο ἡμισφαίρια, τό τε ὑπὲρ γῆν καὶ τὸ ὑπὸ γῆν, καὶ τοὺς ἑπόντας ἑκάστῳ ἀστέρας. οἱ μὲν γὰρ ὑπόγειοι τὰ μέλλοντα δηλοῦσι, καὶ μάλιστα ἐκεῖνος ὁ ἀστὴρ ὁ ἀπὸ τοῦ ὑπὸ γῆν ἡμισφαιρίου εἰς τὸ ὑπέργειον ἀναβαίνειν μέλλων. ἐὰν μὲν γὰρ ἀγαθοποιοὶ ὦσιν ἐν τῷ ὑπὸ γῆν ἡμισφαιρίῳ, καλὸν τὸ μέλλον ἔσται τῷ τυράννῳ· ἐὰν δὲ κακοποιοί, πονηρόν. Σελήνη ἐν τῷ δυτικῷ οὖσα καὶ σὺν αὐτῇ κακοποιὸν ἔχουσα· τὸν τυραννούμενον λέγε διὰ τάχους ἀπολωλέναι.

37. Ἐάν τις τῶν πολεμούντων καὶ πολεμουμένων ἐπικηρυκεύεται πρὸς τὸν ἕτερον ζητῶν χάριν ἢ σπονδάς.

Ἐπικηρυκευομένου τινὸς ἔστω ἡ Σελήνη ἐπὶ τοῦ ὡροσκόπου

---

1 κακοποιῶν Φ ἔστω cett., ὅταν S 2 καὶ ἡ cett., καὶ S 2 κακοποιῶν S, κακοποιὸν p συνάπτει p 3 ἔσται S, ἔστω p 5 ὁ δύνων deest in S, ubi lacuna αἴτιον S, ἄρτι p 6 ἀπομήσεται S αὐτὴ ἡ τυραννίδα S. 7-8 ὑπογείου - καὶ τοὺς p, ὑπογείου σκέπτου, ἐπιτήρ<ει> δὲ καὶ τὰ δύο ἡμισφαίρια, τό τε ὑπὲρ γῆν δηλονότι κτέ Φ, ὑπογείου κέντρου δὲ κατὰ β'' ἡμισφαιρίαν, τὸ ὑπὲρ γῆν καὶ τὸ ὑπὸ γῆν καὶ τοὺς S 8 ἑπόντας p, ἕποντας cett. ἑκάστῳ τόπῳ Φ ἀστέρας deest in Φ 9 ὑπὸ γῆν Φ 10 ὁ ἀπὸ τοῦ ὑπὸ γῆν p, ἀπὸ τοῦ ὑπὸ γῆν Φ, μετὰ τοῦ ὑπὸ γῆν S εἰς τὸ ὑπέργειον S, ὑπὲρ τὸ ὑπὲρ γῆν S, πρότερος εἰς τὸ ὑπὲρ γῆν Φ 11 μέλλον S μὲν οὖν Φ ἀγαθοποιοὶ om. S, καλοποιὸς Φ ὦσιν - ἡμισφαιρίῳ Sp, τύχῃ, ceteris omissis, Φ 12 καλὸν - τυράννῳ Sp, ἔσται τῷ τυράννῳ ἀγαθὰ κακοποιῇ S, κακοποιὸς Φ πονηρά Φ 13 οὖσα κέντρῳ Φ κακοποιὸς Φ 14 τὸν τυραννούμενον κτέ. Sp, ὁ τυραννούμενος ἀπολέσει τὸν τυραννοῦντα ἤγουν τὸν ἀποστάτην.

Cap. 37. S, f. 254 ; p, f. 142v. Titulus non perspicuus est in S, atque ita scriptus ut haec cum praecedentibus cohaereant, nulloque intervallo separentur, et duo capita in unum coaluerint. 15 ἐὰν et S 16 πρὸς deest in S, ubi lacuna 18 ἐπικηρυκευόμενοι τινὲς S ἔστω p, ὅταν S (et alibi) τὸν ὡροσκόπον S

ἢ ἐν τοῖς τριγώνοις αὐτοῦ, ἢ ἐν τοῖς τετραγώνοις, προστιθεῖσα τοῖς ἀριθμοῖς καὶ τοῖς φωσίν· ὁ δὲ οἰκοδεσπότης τοῦ ὡροσκόπου ἔστω μετὰ τῆς Σελήνης εὐθυπορῶν, ἢ αὐτῷ συναπτέτω ἡ Σελήνη· οὕτω γὰρ ὁ αἰτῶν καὶ ἐπικηρυκευόμενος πρέσβυς οὐκ ἀποτεύξεται. κρεῖττον δέ ἐστιν, ἐὰν ἡ Σελήνη ἐπὶ τὸν ἑαυτῆς οἶκον ἔρχηται ἢ ἐφορᾷ αὐτόν. ὡσαύτως καὶ Ἑρμῆς σὺν τῷ Διὶ τυγχανέτω· κρεῖττον γὰρ ἔσται ἐάν, συνὼν τῷ Κρόνῳ ἐν τῇ τοιαύτῃ καταρχῇ, οὐκ ἐπινεύσῃ ἥτις ἂν ἡ αἴτησις πρὸς ἑαυτὸν γένηται. Ἑρμῆς σὺν τῇ Ἀφροδίτῃ τυγχάνων ἐπιτυχεῖν ποιεῖ. εἰ δὲ καὶ ὁ Ζεὺς εὐθύπορος τυγχάνει καὶ μὴ βλαπτόμενος ὑπὸ Κρόνου, ἐπιτυχίας ποιεῖ· ἐὰν δὲ ὑποποδίζῃ ὁ Ζεὺς καὶ βλάπτηται ὑπὸ Κρόνου, οὐκ ἐπιτεύξεται ὁ πρεσβεύων.

38. Περὶ τυραννίδος.

Ἔστω ὁ μὲν τυραννῶν ὁ ὡροσκόπος καὶ ἡ Σελήνη, ὁ δὲ τυραννούμενος βασιλεὺς ὁ Ἥλιος καὶ τὸ μεσουράνημα. τὸ ὡροσκοποῦν ζῴδιον στερεὸν ὂν καὶ ἡ Σελήνη ἐν τοῖς τοιούτοις ζῳδίοις οὖσα· ἐπὶ πολὺν χρόνον ἔσται τῷ τυράννῳ ἡ τυραννίς. τροπικὸν δὲ ζῴδιον ὡροσκοποῦν καὶ ἡ Σελήνη ἐν τροπικῷ· οὐκ ἐπὶ πολὺν χρόνον ἐπιμένει τῇ τυραννίδι ὁ τύραννος. δίσωμον δὲ ζῴδιον ὡροσκοποῦν καὶ ἡ Σελήνη ἐν τοιούτῳ πλῆθος πολὺ συνεπάγε-

---

1 αυτ S ἐντιθεῖσα S 3 ἔστω p, ὅταν S 5 κρείσσω Sp ; cf. l. 6 6 ἐφορῶσα Sp σὺν Διὶ S κρείττω Sp 7 ἐὰν συνὼν p, καὶ συνὼν S ἐν - καταρχῇ p ἀντὶ τοιαύτης καταρχῆς S 8 ἐπινεύσει Sp πρὸς om. S αὐτὸν p 9 τυγχάνων S 10 ὑπὸ Κρόνου ἐπιτυχίας ποιεῖ om S ἐὰν δὲ om. S 11 ὑποδίζει S, ἀποδείξῃ p

Cap. 38. S, f. 254-254ᵛ ; Φ, f. 379-379ᵛ ; p, f. 14ᵛ-16. In Φ titulus est : ἄλλως ; antecedit enim caput 28. 14 Ἔστω om. S ὡροσκόπος, omisso ὁ, S a δὲ om. Φ 15 post βασιλεὺς lacuna in S ; Φ igitur et p aliquid omisisse videntur τὸ μ. per compendia S Φ, μεσουρανοῦν p τὸ ὡροσκοποῦν ego, ὁ et compendium Φ, compendium tantum S, ὡροσκοπῶν p 16 στερεὸν ὂν Φ, ἐν τροπικοῖς καὶ στερεοῖς Sp 17 οὖσα deest in Sp ἡ τυραννὶς ἔσται τοῦ τυράννου Sp τροπικὸν - πλῆθος Φ, μὴ μακρύνοντος Σελήνη ἐν δισώμῳ ζῳδίῳ καὶ ὡροσκοπῶν πλῆθος Sp

σθαι τῷ τυράννῳ σημαίνει,μεταγινώσκειν δὲ εἰς δ πέπραχε.ἡ Σελήνη ἐν τοῖς πλαγίοις ζῳδίοις ὡροσκοποῦσα ἀβέβαιον νόημα καὶ πρᾶγμα ἀλυσιτελὲς τούτῳ σημαίνει. ὀρθὸν ζῴδιον ὡροσκοποῦν καὶ ἔχον τὴν Σελήνην λυσιτελεῖ τῷ τυράννῳ,καὶ εὔθετον αὐτῷ τὴν τυραννίδα παρασκευάζει.Σελήνη οὖσα ἐν ταῖς πρώταις πεντεκαίδεκα μοίραις τῶν δισώμων ζῳδίων πρῶτον τετυραννηκέναι λέγει τὸν τύραννον· ἐὰν δὲ ἐν ταῖς ἐσχάταις,καὶ δὴ πρὸ τούτου τετυραννηκέναι.ἡ Σελήνη ὡροσκοποῦσα εἰς ἀνατολὰς λέγει τὸν τύραννον εἶναι ἐκεῖ ἢ ἀπελθεῖν· ἐὰν δὲ μεσουρανῇ ἐπὶ νότον, δύνουσα δὲ ἐπὶ τὴν δύσιν, ὑπὸ τὴν γῆν εἰς τὰ βόρεια, μεταξὺ δὲ τῶν κέντρων οὖσα πρὸς τὰς μεταξὺ τῶν ἀνέμων, τὴν ἐκκλισιν λέγει. ἡ Σελήνη συνάπτουσα τῷ Ἄρει ἢ μαρτυρουμένη ὑπ' αὐτοῦ ἐκ τετραγώνου ἢ διαμέτρου ἢ δεσμὸν ἢ φυγὴν σημαίνει τῷ τυράννῳ ἢ βίᾳ αὐτὸν ληφθῆναι καὶ ἀχθῆναι πρὸς τὸν τυραννούμενον. Σελήνη Κρόνῳ συνάπτουσα στηρίζοντι ἐπιβουλευθήσεσθαι τὸν τύραννον ὑπὸ τῶν συνασπιστῶν λέγει. Σελήνη τῷ Κρόνῳ συνάπτουσα, μὴ στηρίζοντος τοῦ Κρό-

---

1 *πέπρακεν* S *ἡ* om. Sp 2 *ὡροσκοποῦσα Φ, καὶ ὡροσκ.* per symbolum Sp *ἀβέ καὶ* S *πρᾶξιν* Sp 3 *ἀλυσιτελῆ* p, *ἀλυσιτελεῖ* S *τούτῳ Φ, τῷ τυράννῳ* Sp *καὶ ἔχων Φ ἢ ἔχων* Sp. 4 *τῷ τυράννῳ* om. *Φ* *εὔκολον* Sa *αὐτὸν τὴν τυραννίδα* S, *αὐτῷ τῇ τυραννία* p 5 *παρασκευάζει ὡς προείρηται* Sp 5-6 *ἐν ταῖς - ζῳδίων Φ, ἐν δισώμῳ ζῳδίῳ ἤτοι ἐν ταῖς πρώταις αὐτοῦ μοίραις* Sp (sed in p est *μοίρες* cum *αι* supra *ε* sc.) *ἷς πρώταις αὐτοῦ μοίρας* Sp (sed in p est *μοίρες ε* scriptis) 7 *ἐν* om. Sp *ἐσχάταις Φ, ἐσχάταις τοῦ ζῳδίου μοίραις Σελήνη τύχη* Sp (sed *ἡ Σ.* p) *τετυράννηκε* p, *τετυράννηκεν* S, *τετυράννικε Φ* 8 *ὡροσκοποῦσα Φ, τὸν ὡροσκόπον κατέχουσα* S *λέγει τὸν τύραννου εἶναι Φ, εἶναι τὸν τύραννον λέγε* p, om. S *ἢ* om. Sp *ἀπελεύσεσθαι* Sp 9 *ἐὰν δὲ μεσουρανῇ* (per comp. *Φ*), *μεσουρανοῦσα* S, *μεσουρανοῦσα δὲ* p *ἐπὶ νότον Φ, ἐπὶ νῶτον ἀπελεύσεσθαι* S, *ἐπινόει τὸν αὐτὸν τύραννον ἀπελεύσεσθαι* S *ἐπὶ τὰς δύσεις* Sp 10 *ὑπὸ τὴν γῆν Φ, ὑπὸ γῆν* Sp, *ὑπόγειος* a *βόρια* p, *μόρια* S 10-11 *μεταξὺ - ἔκκλισιν Φ, Σελήνη τῶν κέντρων μετακλίνασα καὶ τὰς μεταξὺ τῶν ἀνέμων τὴν ἔγκλησιν* S, *Σ. ἐν τῶν κέντρων ἀποκλίνουσα πρὸς τὰς μεταξὺ τῶν ἀνέμων ἐκκλισιν* p (in *Φ ἔκλισιν*) *λέγε Φ, λέγει τῆς πορρείας* p, *λέγε τὲ πορίας* S *ἡ* om. Sp *τῷ* om. Sp. 13 *ἢ δεσμὸν ἢ* om. *Φ* a (sed in p *εἰς φ.*) 14 *πρὸς τὸν τυραννούμενον* om. Sp 14-16 *στηρίζοντι - μὴ* om. *Φ* *στηριζομένου* S 15 *λεύθησεσθαι* S 16 *λέγε* Sp *τῶ* om. Sp *μὴ στηρίζοντος τοῦ Κρόνου Φ, μὴ στηρίζοντι* Sp

νου, ὄλεθρον τινῶν τῶν τούτῳ προσηκόντων σημαίνει, δηλοῖ δὲ αὐτὸν ἐλθεῖν μετὰ πολλὴν κακοπάθειαν πρὸς τὸν βασιλέα. Σελήνη ὑπὸ ἀγαθοποιῶν μαρτυρουμένη ἢ τούτοις συνάπτουσα · συμφέρει τῷ τυράννῳ ἡ ἄνταρσις. Σελήνη σὺν τῷ Κρόνῳ εἰς τὰς ὑπὲρ γῆν πεντεκαίδεκα μοίρας οὖσα ταχεῖαν πρόδοσιν τοῦ τυράννου σημαίνει. Σελήνη ἀσύνδετος οὖσα τῷ ὡροσκόπῳ καὶ τῷ Ἡλίῳ ἐπὶ τῆς παροιστρήσεως τοῦ τυράννου σημαίνει. ἡ Σελήνη τῷ Ἡλίῳ συνοδεύουσα τὸ αὐτὸ δηλοῖ. ἐὰν εὑρεθῇ ὁ οἰκοδεσπότης τοῦ ὡροσκόπου ἀναποδίζων, τὸν τύραννον εἰς μετάμελον ἐλθεῖν ποιεῖ καὶ ἀφ' ἑαυτοῦ πρὸς τὸν τυραννούμενον ἔχειν. ἐν ἰδίῳ οἴκῳ δὲ ὢν ὁ τοῦ ὡροσκόπου κύριος καὶ μὴ ἀναποδίζων, ἐπιμένει τῇ τυραννίδι. καὶ ἐὰν ἐν τῷ ὑπὸ γῆν ἡμισφαιρίῳ εὑρεθῇ, ἐπίμονον ποιεῖ τὴν τυραννίδα, ἐν δὲ δύνοντι ταχέως λυομένην. ὁ Ἥλιος δύνων, ἢ μεσουρανῶν, μετά τινος τῶν κακοποιῶν τὴν Σελήνην ἐκ τετραγώνου ἢ διαμέτρου · τεθνήξεται ὁ τυραννηθεὶς πρὸ τοῦ λυθῆναι τὴν τυραννίδα. ὁ Ἥλιος ὁρῶν τὴν Σελήνην ὑπὲρ γῆν · ταχέως ἡ τυραννὶς

---

1 *ὀλέθρων* S *τυράννῳ προσηκόντων* Sp, *τούτου Φ* *δηλοῖ δὲ* om. Sp 2 *ἔρχεσθαι* Sp *μετὰ πολλὴν κακοπάθειαν Φ*p, *μετὰ πολλῶν εἰς τὸν βασιλέα μετὰ πολλὴν κακοπάθειαν* S 3 *ἢ τούτοις Φ, καὶ τούτοις* S, *τούτοις* p *σύμφορος* p, *σύμφορον* S 4 *ἡ ἄνταρσις* om. Sp 4-5 *εἰς τὰς - οὖσα Φ, εἰς τὰ ὑπὲρ γῆν κέντρα* p, *ἐκ τῶ ὑπὸ γῆν κ* (sc. symbol. = *κέντρον*) S, 5 *τὴν πρόδοσιν* Sp 6 *καὶ αὐτῷ Ἡλίῳ* S 7 *ἐπὶ τῆς - τυράννου Φ* (ubi *παραστρήσεως*), *ἐπιβαίνειν τὸν τύραννον ἐν τῇ περιστρήσει αὐτοῦ* S, *ἐπιμένειν τὸν τύραννον ἐν τῇ παροιστήσει αὐτοῦ* p 8 *συνοδεύουσα* om. *Φ* *τῷ αὐτῷ Φ* *σημαίνει* Sp *ἐὰν εὑρεθῇ* om. a 9 *ὡροσκοπίου* p *ἀναποδίζεται* S 10-11 *τὸν τύραννον - ἔχειν Φ, ὁ τύραννος εἰς* (*ἐκ* S) *μετάμελον ἐλθὼν ἀφ' ἑαυτοῦ ἔρχεται πρὸς τὸν τυραννηθέντα* (*τυραννοννηθέντα* S) Sp *ἐν ἰδίῳ - ἀναποδίζων Φ, ἐὰν δὲ ἐν ἰδίῳ οἴκῳ εὑρεθῇ ἢ ὁρίοις καὶ μὴ* (*μὴ* om. S) *ἀναποδίζων ἐστὶ* (*ἐστὶ* non exhibet S) Sp 11 *ὁ ὡροσκόπος* a *ἐπιμένει* non habet p, *ἐπιμένειν* a *τῇ τυραννίδι Φ, ὁ τύραννος ἐν τῇ αὐτοῦ* (*αὐτῆ* S) *τυραννίδι* Sp 12 *ἐπίμονον ποιεῖ τὴν τυραννίδα Φ, ἐπίμονος ἔσται ἡ τυραννὶς* Sp 13 *ἐν δὲ - λυομένην Φ, κἂν ἀστήρ τις δύνῃ τὸ τάχος λυθήσεται ἡ τυραννὶς* Sp *ὁ* om. Sp 14 *σύν τινι* Sp *τὴν Σελήνην - διαμέτρου* om. Sp *ἢ ἐπιθεωρῶν αὐτὴν ἐκ τετραγώνου ἢ διαμέτρου* a 15 *πρὸς τοῦ* p, *πρὸς τὸ* S 16 *τὴν τυραννίδα. ἐπιθεωρούμενος ἐκ τετραγώνου ἢ διαμέτρου* Sp *Ἥλιος*, omisso *ὁ* Sp *ὑπὲρ γῆς* S, om. p

λυθήσεται, καὶ προδοθήσεται ὁ τύραννος ὑπό τινος τῶν συνασπιστῶν. Σελήνη μετὰ Κρόνου ὡροσκοποῦσα · ἑαυτὸν προδόσει ὁ τύραννος. ἀγαθοποιοὶ ὡροσκοποῦντες ἢ ἐφορῶντες τὸν ὡροσκόπον, τὸν τύραννον τελείως ἀπολύσουσι τοῦ φόβου καὶ τοῦ πολέμου. Ἀφροδίτη ἐφορῶσα τὸν ὡροσκόπον καὶ τὴν Σελήνην ἀφ' ἑαυτοῦ ἐλθεῖν τὸν τύραννον σημαίνει καὶ μηδὲν κακὸν παθεῖν ὑπὸ τῶν κρατούντων, τιμῆς δὲ μᾶλλον ἀξιωθῆναι βασιλικῆς. Σελήνη αὐξιφωτοῦσα οὐ ῥᾳδίως λύει τὸν τύραννον, ἀλλὰ καὶ θαρσαλέον σημαίνει. Σελήνη μειουμένη τῷ φωτὶ μικρὰν σημαίνει τὴν τυραννίδα καὶ ἐντὸς ὀλίγου καιροῦ λυομένην. ὁ Ἥλιος δύνων καὶ Κρόνος ἐν τῷ ὀγδόῳ τόπῳ ὢν τὸν βασιλέα ὑπὸ τούτου ἀναιρεῖσθαι δηλοῖ. οἱ κακοποιοὶ ἐν τῷ μεσουρανήματι ὄντες ἢ μετὰ τοῦ Ἡλίου · καταπονεῖσθαι καὶ ἡττηθήσεσθαι τὸν τυραννούμενον ὑπὸ τοῦ τυράννου λέγε. Σελήνη ἐν τῷ δυτικῷ οὖσα κέντρῳ, Ἄρεως ἐπικαταφερομένου αὐτῇ, βιοθάνατον ποιεῖ τὸν τύραννον ἢ καύσει πυρὸς παραδεδόσθαι.

Σελήνη δύνουσα, Ἄρεως καὶ Ἑρμοῦ ἐπικαταφερομένων, κακοθάνατον ποιοῦσι τὸν τύραννον. Σελήνη δύνουσα, Ἄρεως ἐν τῷ ὑπὸ γῆν ὄντος, τὰ αὐτὰ δηλοῖ. Σελήνη ἀφώτιστος ὑπὸ Ἄρεως θεωρουμένη ζῶντα τὸν τύραννον καίει ἢ σιδήρῳ ἀναιρεῖ. τὴν Σελήνην λειψιφωτοῦσαν ἐν Ζυγῷ ἐφορῶν Κρόνος · βέβαιον τὸ κακὸν τοῦ τυράννου καὶ ἄστεκτον λέγε. Ἑρμῆς τὴν Σελήνην ἐφορῶν μετὰ

---

1 *ταχέως λυθήσεσθαι τὴν τυραννίδα σημαίνει* Sp,sed S omittit *τὴν τυραννίδα προδοθῆναι τὸν τύραννον* p, *προδοθῆναι* S *ὑπὸ - συνασπιστῶν* om. S 2 *Σελήνη καὶ* Sp *ὡροσκοπῶν* p, compend. S, *ὡροσκοποῦντες* a *ἑαυτὸν - τύραννος Φ, λέγε τὸν τύραννον ἑαυτὸν προδιδόναι* Sp 3 *ἀγαθοποιὸς Φ ἐφορῶν Φ* S pro his in Sp : *οἱ ἀγαθοποιοὶ τὸν ὡροσκόπον ἀφορῶνται (ἐφορῶντες τὸν τύραννον* Sp 7 *τιμῆς δὲ μᾶλλον Φ, ἀλλὰ τιμῆς* Sp *ἀξιοῦται ὁ τοιοῦτος* Sp *βασιλικῆς* non exhibet Sp 8 *τὸν τύραννον Φ, τὴν τυραννίδα* Sp 9 *σημαίνει τὸν τύραννον καὶ ἀφοβίᾳ διοικεῖσθαι* Sp *οὐ μακρὰν* Sp 10 *ἀλλὰ καὶ* Sp *μικροῦ χρόνου διαλύεσθαι* Sp *ὁ* om. S 11 *τόπῳ* om. S *ὑπὸ τοῦ τυράννου* Sp *δηλοῖ Φ, λέγε* Sp 12 *οἱ κακοποιοὶ - λέγε* non exhibet *Φ* 14 *ἐν τῷ δυτικῷ οὖσα Φ, ἐν τῷ δύνοντι* Sp *κέντρῳ* om. Sp 15 *πυρὸς* om. *Φ παραδίδοσθαι* S 17 sqq. et p 258, 1-17 non exhibet *Φ* 19 *ὄντως* S 21 *λειψιφωτοῦσαν* om. S *ἐν ζυγῷ* om. S, exhibet p (2 man) *Κρόνῳ* p, om. S *Κρόνος - Σελήνην* om. S *τὸ ὑπὸ τοῦ* p 22 *ἀστέκτου* p

τῶν κακοποιῶν· αὐτόχειρα λέγε γενέσθαι τὸν τύραννον. Σελήνη ἐπὶ Ἄρεα φερομένη καταβαίνοντα τὰ νότια, ἢ τὰ βόρεια, τοῦ Ἄρεως αὐτοῦ μὴ ἐφορῶντος, φόβον καὶ κίνδυνον τῷ τυράννῳ σημαίνει. οἱ κακοποιοὶ ἐν τῷ ὑπὸ γῆν ἢ ὑπὸ δύσιν ὄντες, μηδενὸς τῶν καλοποιῶν ἐπόντος ἢ μαρτυροῦντος, θάνατον τοῦ τυράννου δηλοῦσι. Σελήνη μεσουρανοῦσα, ἐὰν οἱ κακοποιοὶ διαμετρήσωσιν, ἢ τετραγωνίσωσιν· τὸν τύραννον ἑαυτὸν ἀναρτᾶν λέγε ἢ σταυρούμενον. Σελήνη μεσουρανοῦσα ἢ ὑπὸ γῆν οὖσα ἢ δύνουσα καὶ περιεχομένη ὑπὸ Ἡλίου καὶ Κρόνου ἐπιδημίου. ζῶν καίεται ὁ τύραννος.

Τὸ δὲ πότε ἡ τυραννὶς πληροῦται, σκέπτου ἐκ τῶν τῆς Σελήνης καὶ τοῦ Ἡλίου διαμέτρων ἀποκαταστατικῶν σχημάτων. καὶ ἔτι Ἥλιος ὢν ἐν τῇ καταρχῇ τετράγωνος τῷ ὡροσκόπῳ ἢ τῇ Σελήνῃ τετραγώνων, διάμετρον δὲ διαμέτρων, τρίγωνος δὲ ἐν τοῖς τριγώνοις τοῦ τε ὡροσκόπου καὶ τῆς συνόδου τῆς Σελήνης, καὶ τοῦ ὡροσκόπου τὰ δύο καὶ δέκα μόρια ἐν τῷ ὡροσκόπῳ πεπτωκότα, ῥᾳδίαν τὴν λύσιν τῆς τυραννίδος σημαίνει.

39. Περὶ τυραννίδος.

Περὶ τυραννίδος φαμὲν ὅτι χρὴ σκοπεῖν τὸν ὡροσκόπον καὶ τὸν κύριον αὐτοῦ, περὶ δὲ τοῦ ἐρωτῶντος ἀπὸ τοῦ ἑβδόμου τόπου. ἐρευνᾶν δὲ δεῖ τοὺς σχηματισμοὺς καθὼς ἐν τῷ περὶ πολέμου εἴρηται.

40. Ἐν ποίῳ τόπῳ γίνεται ὁ πόλεμος

Ἐὰν ἐν ταῖς πολεμικαῖς καταρχαῖς εὑρεθῇ ὁ Ἄρης ἐν τῷ πρώτῳ δεκανῷ τοῦ Κριοῦ ἐν τραχείᾳ γῇ καὶ ψαφαρᾷ. ἐν τῷ δευτέρῳ δε-

---

2 *νότια* pP, *μόρια* S *αὐτοῦ* codd. 4 *σημαίνουσιν* p *ἢ - ὄντες* S, *ἢ ὑποδύοντες* p 5 *ἐπόντος* S *ἔποντος* p, 6 *δὴμετρήσωσιν* S 7 *ἀναρ* p 9 *ἐπιδημείου* p, *ἐπιδημεῖ* S 12 *ὑποκαταστικῶν* p 14 *διάμετρον* (per sym.) *δὲ διαμέτρων* S, *δὲ δὲ τετραγωνῶν* p. Verba corrupta 15 *τῆς συνόδου* S *τῇ ὠνόδου* p *οὔσης τῆς* p

Cap. 39. P, f. 111 ; p, f. 14. 19 *τοῦ ὡροσκόπου κα ὶ τοῦ κυρίου* P 20 *τόπου* corr. : *αὐτοῦ* codd.

Cap. 40. S, f. 255^{v} ; p, f. 17. 25 *Κριοῦ* S, per symbolum, quod tamen potius Tauri quam Arietis est, *Κυρίου* P *καὶ ψαφαρᾷ* om. S

κανῷ ὢν ὁ Ἄρης, ἐν ὑψηλῷ τόπῳ καὶ ἀμπελώδει. ἐν τῷ τρίτῳ δεκανῷ ἐν πεδικῷ καὶ νομαδικῷ. Ταύρῳ δὲ ἐν τῷ πρώτῳ δεκανῷ ἐν νεώμασιν · ἐν τῷ δευτέρῳ ἐν ὑψηλῷ τόπῳ καὶ δενδρώδει · ἐν τῷ τρίτῳ ἐν ἐπιπέδοις καὶ μυλίτας ἔχ σ λίθους. Διδύμοις ἐν τῷ πρώτῳ δεκανῷ, ἐν ὄρεσι καὶ δρυμοῖς · ἐν τῷ δευτέρῳ, ἐν τραχείᾳ γῇ καὶ κατοικούσῃ · ἐν τῷ τρίτῳ ἐν φάραγξι καὶ χαράδραις. ἐν Καρκίνῳ ἐν τῷ πρώτῳ δεκανῷ ἐν ὑδρηλοῖς τόποις καὶ συνδένδροις · ἐν τῷ δευτέρῳ ἐν τοῖς χερσώδεσι καὶ ἀσπόροις · ἐν τῷ τρίτῳ ἐν ὑψηλοῖς καὶ συνδένδροις. Λέοντι ἐν τῷ πρώτῳ δεκανῷ ἐν προσάντεσι τόποις καὶ ὄρεσιν · ἐν τῷ δευτέρῳ ἐν βουνώδεσι καὶ χορτώδεσιν · ἐν τῷ τρίτῳ ἐν τραχέσι καὶ ἐρήμοις. Παρθένῳ ἐν τῷ πρώτῳ ἐν σιτοσπόρῳ · ἐν τῷ δευτέρῳ ἐν νεώμασι καὶ ἐλαιῶνι · ἐν τῷ τρίτῳ ἐν ὄρεσι καὶ ἐν τραχέσι καὶ πετρώδεσι τόποις. Ζυγῷ ἐν τῷ πρώτῳ ἐν λειμῶνι καὶ πεδιασίμῳ · ἐν τῷ δευτέρῳ ἐν ὄρεσι καὶ ὑψηλοῖς τόποις · ἐν τῷ τρίτῳ ἐν ἡμέροις τόποις καὶ οἰκήσεσιν. Σκορπίῳ ἐν τῷ πρώτῳ δεκανῷ ἐν τραχέσιν · ἐν τῷ δευτέρῳ ἐν ἀμπέλοις · ἐν τῷ τρίτῳ, ἐν ἁλμυροῖς καὶ ἁλώδεσι τόποις. Τοξότῃ ἐν τῷ πρώτῳ δεκανῷ ἐν τραχέσι καὶ ξηρώδεσι · ἐν τῷ δευτέρῳ ἐν ἀμπελώδει γῇ · ἐν τῷ τρίτῳ, ἐν ὄρεσι καὶ ὑψώμασιν ἢ χώμασιν ἢ βρυώδεσι τόποις. Αἰγόκερῳ ἐν τῷ πρώτῳ δεκανῷ ἐν ὑδρηλοῖς καὶ εὐβότοις · ἐν τῷ δευτέρῳ, ἐν ὄρεσι καὶ δρυμοῖς καὶ συνδένδροις ῥύαξιν · ἐν τῷ τρίτῳ, ἐν ἀμπέλοις καὶ ἀρδείᾳ. Ὑδροχόῳ ἐν τῷ πρώτῳ δεκανῷ, ἐν παραλίῳ ἢ ἐν ποταμῷ · ἐν τῷ δευτέρῳ, ἐν ἄλσεσι καὶ ἕλεσι · ἐν τῷ τρίτῳ ἐν λειμῶνι καὶ ἄγχει. ἐν Ἰχθύσι ἐν τῷ πρώτῳ δεκανῷ ἐν ὑδρηλοῖς · ἐν τῷ δευτέρῳ ἐν ὑδρευτοῖς τόποις καὶ εὐβότοις · ἐν τῷ τρίτῳ ἐν ἀμπελῶνι καὶ συνδένδρῳ τόπῳ.

41. Πότε γίνεται πόλεμος.

Περὶ τοῦ πότε γίνεται πόλεμος φησὶν ὁ Θεόφιλος ὅτι, ἐὰν

---

2 ὀνομαδικῷ p δὲ om. S 3 δενδρώδη S, συνδένδρῳ p 4 μυλίτους S, μυλιτοὺς p ἔχουσι corr., ἔχων codd. 6 φάξιρα S 7 ὑδριλοῖς p 8 ἀπόροις p 10 μονώδεσι S 12 νεάμασι p 13 Ζυγῷ per symb. S, om. p. 16 Σκορπίῳ - ἁλώδεσι τόποις om. S 17 ἁλμυροῖσι p 19 ἢ χώμασιν om. p 20 δεκανῷ om. S ὑδριλοῖς p 21 ἐν δένδροις p 22 ῥύαξιν om. S ἀρδία S 24 λιμῶνι p ἄχει p 25 ὑδριλοῖς p, ὑδρευτοῖς S, ἀρδεστοῖς p

Cap. 41. S, f. 256-256ᵛ ; P, f. 111 ; p, f. 17ᵛ. 28 Περὶ - ὅτι om. Sp.

τὰ φῶτα ἄλληλα τριγωνίζῃ καὶ ἐπιβλέπῃ τὸν ὡροσκόπον, ῥᾳδίως διαλυθήσεται ὁ πόλεμος· ἐὰν δὲ τετραγωνίζῃ, οὐ διαλυθήσεται ῥᾳδίως, ἀλλὰ καὶ ἀπὸ πολέμου εἰς πόλεμον καὶ ἐκ τόπου εἰς τόπον μετέρχεται ὁ ἐπιστρατευόμενος. ἐὰν τὰ φῶτα ἄλληλα διαμετρῇ, βραδέως γίνεται ὁ πόλεμος, καὶ ὀψέ ποτε διαλυθήσεται. ἡ Σελήνη ὑπὲρ τὰς ὄκτω μοίρας ἀπέχουσα τινὸς ἀστέρος καὶ μὴ κολλωμένη αὐτῷ μηδὲ συνάπτουσα, βραδύτερον σημαίνει τὸν πόλεμον γενέσθαι. Σελήνη συνοδεύουσα τινὶ τῶν ἀστέρων ἐν τῷ αὐτοῦ οἴκῳ πόλεμον ταχύτατον σημαίνει, καὶ μάλιστα τοῦ Ἡλίου ἐπιμαρτυροῦντος αὐτοῖς. ἐὰν τὸ τῆς Σελήνης δωδεκατημόριον ἔλθῃ ἐπὶ τὸν ὡροσκόπον ἢ τὸ μεσουράνημα ἢ ἐπ' αὐτὸν τὸν Ἥλιον, ἢ τὸν οἰκοδεσπότην αὐτοῦ, ἢ ἐπ' ἄλλον τινὰ ἀστέρα ἐν ἀνατολῇ ὄντα, τάχιον τὸν πόλεμον γενέσθαι σημαίνει. ἐν τῷ ἕκτῳ καὶ ἑβδόμῳ ἀπὸ ὡροσκόπου οὔσης τῆς Σελήνης οὐ γίνεται πόλεμος, ἐὰν μὴ ὁ Ἥλιος μαρτυρήσῃ. ἐν τῷ ἐκλειπτικῷ τόπῳ οὖσα ἡ Σελήνη δυσεπιχείρητον ποιεῖ τὸν πόλεμον . τὸν κλῆρον τοῦ πολέμου ἐποῦσα ἡ Σελήνη ἢ ἐπιβλέπουσα οὐ ῥᾳδίως γεγενῆσθαι τὸν πόλεμον σημαίνει. ἐὰν μηδεὶς τῶν φώτων οὐκ ἐπιβλέπῃ τὸν κλῆρον τοῦ πολέμου, οὐ σημαίνει γενέσθαι πόλεμον. Σελήνη ὡροσκοποῦσα ῥᾳδίως γενέσθαι σημαίνει τὸν πόλεμον. Ἥλιος ἐν Ζυγῷ ἢ Ὑδροχόῳ ἢ Διδύμοις ὡροσκοπῶν οὐ σημαίνει πόλεμον.

Ἄλλως. πότε γίνεται πόλεμος. Βλέπε πόσα ζῴδια μεταξὺ τοῦ ὡροσκόπου καὶ τῆς Σελήνης τυγχάνει, καὶ πάλιν πόσα μεταξὺ τοῦ Ἡλίου καὶ τοῦ ὡροσκόπου, καὶ σύνθες ἀμφοτέρους τοὺς ἀριθμούς· καὶ διὰ τοσούτων ἡμερῶν ἢ μηνῶν γίνεται ὁ πόλεμος.

---

1 γνωρίζει S ἐπιβλέπει S 2 διαλύεται P ἐὰν δὲ καὶ P τετραγωνίσῃ Sp 3 ἀπὸ p, ἐπὶ P, μετὰ S 5 διαμετρεῖ S, διαμετρῆται P 6 η' μοίρας P, Κ' μοίρα Sp 7 κολουμένη S συνάπτει S 9 αὐτοῦ S, ἑαυτοῦ p, αὐτῷ P 11 μεσουρανοῦν p ὑπ' αὐτὸν S 13 τάχειον p γεγενῆσθαι σημαίνει p 14 ἀπὸ Pp, μετὰ S οὐ γίνεται om. S 15 ἐν τῷ ἕκτῳ τόπῳ S 16 δυσεπιχείριστον Sp 16-18 τοῦ πολέμου - σημαίνει om. S 17 τοῦ πολέμου ἔπων ὁ ἥλιος ἢ ἐπιβλέπων σημαίνει δημόσιον τὸν κλῆρον τοῦ πολέμου p ἐποῦσα P, ἔπουσα S βλέπουσα p 18 ἐπιβλέπει SP 19 γενέσθαι σημαίνει Sp τὸν πόλεμον S, πόλεμον Pp 20-21 Ἥλιος - πόλεμον om. P 20 Ζυγῷ om. p 21 Διδυμοις S, Ζυγῷ p ὡροσκοποῦσα p 22-26 non exhibent Pp.

42. *Περὶ τοῦ εἰ συμφέρει λαβεῖν ἢ ἄνδρα γυναῖκα ἢ γυναῖκα ἄνδρα.*

Περὶ τούτου εἰ ἐρωτήσει σέ τις, ὅρα τὸν κύριον τοῦ ὡροσκόπου, καὶ εἰ εὕρῃς αὐτῷ συνάπτοντα τὸν <κύριον> τοῦ ἑβδόμου τόπου, ἐρεῖς γενέσθαι τὸ συνάλλαγμα καὶ ἐπὶ συμφέρον. ἡ δὲ αἰτία τοῦ γενέσθαι ὑπάρχει ἀπὸ τοῦ ἐρωτῶντος. ἐὰν δὲ πάλιν εὕρῃς τὸν κύριον τοῦ ὡροσκόπου συναπτόμενον παρὰ τοῦ κυρίου τοῦ ἑβδόμου τόπου, ἐρεῖς τὴν αἰτίαν τοῦ γενέσθαι εἶναι ἀπὸ τοῦ προσώπου περὶ οὗ γέγονε τὸ ἐρωτώμενον. ἐὰν δὲ εὕρῃς τὸν κύριον τοῦ ὡροσκόπου καὶ ἀγαθοποιὸν ἐν τῷ ἑβδόμῳ τόπῳ ὑπάρχοντα, λέγε εὐτυχίαν γεγενῆσθαι ἀπὸ τοῦ ἐρωτῶντος πρὸς τὸ πρόσωπον τὸ περὶ οὗ γέγονεν ἡ ἐρώτησις. ὁμοίως καὶ ὅταν εὕρῃς τὸν κύριον τοῦ ὡροσκόπου ἀγαθοποιὸν καὶ ὄντα ἐν τῷ ὡροσκόπῳ, λέγε τὴν εὐτυχίαν γενέσθαι ἀπὸ τοῦ προσώπου, περὶ οὗ ἡ ἐρώτησις γίνεται, πρὸς τὸ πρόσωπον τὸ ποιοῦν τὴν ἐρώτησιν. ὁ δὲ τὴν συνάφειαν ἐπιφέρων ἀστήρ· ἐρεῖς γενέσθαι τὴν συνάφειαν δυσκόλως καὶ μετὰ φιλονεικίας. πρὸς τούτοις δὲ χρὴ σκοπεῖν καὶ τὸ ὑπόγειον κέντρον καὶ τὸν κύριον αὐτοῦ· καὶ εἰ μὲν ἀγαθοποιὸς ἔχει τὸ κέντρον, ἢ συσχηματίζει ὁ κύριος αὐτοῦ πρὸς ἀγαθότητα, ἐρεῖς ἀγαθὸν τὸ ἀποτέλεσμα ἔσεσθαι. εἰ δὲ κακοποιὸς ἔχει, ἢ συσχηματίζει ὁ κύριος αὐτοῦ πρὸς τὴν κακότητα, ἐρεῖς ἐναντίον ἔσεσθαι τὸ ἀποτέλεσμα.

43. *Ἐάν τις πεπόρνευκεν.*

Περὶ τούτου σκέψαι τὸν Ἄρεα, φησὶν ὁ Θεόφιλος, καὶ τὴν Ἀφροδίτην ἀλλήλοις συσχηματιζομένους καὶ ἐν ἠρεμωμένοις ὄντας τόποις. τῶν ἀγαθοποιῶν μὴ μαρτυρούντων, λέγε πεπορνευκέναι, κἂν ἀνήρ ἐστι, κἂν γυνή, περὶ οὗ ἡ ἐρώτησις. ὡσαύτως καὶ τὰ φῶτα κατὰ τὸ ὅμοιον σχῆμα ἐν θηλυκοῖς τόποις ὄντα καὶ μαρτυρούμενα ὑπὸ τῶν κακοποιῶν. Ἀφροδίτη ἐν Αἰγοκέρωτι καὶ Κριῷ, τοῦ Ἄρεως αὐτὴν <ἐφορῶντος> ἐξ ἑρμαϊκοῦ καὶ συσχηματιζομένου τόπου, τὸ αὐτὸ σημαίνει. Ἀφροδίτη διαμετρουμένη ὑπὸ

Cap. 42, P f. 11 4 *αὐτὸν* cod. **κύριον, supplevit Boudreaux,** deest in P 5 *ἐπισυμφέρον* p

Cap. 43, P, f. 111ᵛ. 24 *συσχηματιζομένοις* P **καὶ** *ἐνηρενωμένοις* P 28 *μαρτυρούμενον* P 29 *ἐφορῶντος* **addidi.**

Ἄρεως, τοῦ Διὸς μὴ μαρτυροῦντος, τὰ αὐτὰ ποιεῖ. Ζεὺς καὶ Ἀφροδίτη ἐπίκεντροι τὴν Σελήνην ἐπιθεωροῦντες, τοῦ Ἄρεως μαρτυροῦντος · εἰς συγγενῆ τινα πεπορνευκέναι λέγε.

44. *Περὶ φαρμακείας.*

Κακούμενος ὁ Ἑρμῆς, φησὶν ὁ Θεόφιλος, φθόνον καὶ φαρμακείαν καὶ κλοπὴν καὶ ἐπιορκίαν σημαίνει · συγκακοποιουμένης δὲ καὶ τῆς Ἀφροδίτης, τὰ γυναικεῖα φάρμακα, οἷον φίλτρα καὶ μίσηθρα καὶ τὰ τοιαῦτα, καίτοι γε ἐπὶ τῶν κέντρων οὔσης τῆς κακώσεως, χαλεπώτερα ταῦτα ἔσται · καὶ ἐπὶ μὲν τοῦ ὡροσκόπου καὶ μεσουρανήματος φανερώτερα καὶ ἀρίδηλα · ἐπὶ δὲ τοῦ δύνοντος καὶ τοῦ ὑπογείου, κρυπτὰ καὶ ἀφανῆ· ἐπὶ δὲ τῶν ἀναφορῶν, ἀκμάζοντα καὶ ἐπίμονα · ἐπὶ δὲ τῶν ἀποκλιμάτων, ταχέως διαπίπτοντα καὶ σβεννύμενα.

45. *Περὶ προσδοκίας φόβου.*

Ἐάν τις σοι περὶ προσδοκίας φόβου <ἢ>πράγματος ἐρωτήσῃ, εἰ ἄρα διέλθῃ ἢ οὐ διέλθῃ, ἴδε τὸν ὡροσκόπον καὶ σκόπησον ὁμοίως καὶ τὸν ὄγδοον τόπον καὶ τοὺς κυρίους αὐτῶν. καὶ εἰ μὲν εὑρεθῶσιν οἱ ἀγαθοποιοὶ ἐν τῷ ὡροσκόπῳ καὶ τῷ ὀγδόῳ τόπῳ, δηλοῖ λύσιν τοῦ προσδοκωμένου φόβου · εἰ δὲ εὑρεθῇ ὁ κύριος τοῦ ὡροσκόπου συνάπτων τὸν κύριον τοῦ ὀγδόου τόπου, δηλοῖ γενέσθαι τὸ ὑπόφοβον πρᾶγμα, εἶτα καὶ διαλυθῆναι. πρὸς τούτοις δὲ σκόπησον <τὸ> ὑπόγειον κέντρον · καὶ εἰ ἄρα ἔχει ἀγαθοποιόν, ἢ συσχηματίζεται ὑπ' αὐτοῦ, δηλοῖ ἀγαθὸν ἀποτέλεσμα. εἰ δὲ μὴ οὕτως ἔχοιεν οἱ σχηματισμοί, δηλοῦσι τὸ ἀνάπαλιν. εἰ συσχηματίζει ὁ κύριος τοῦ ὑπογείου τοὺς ἀγαθοποιούς, δηλοῖ ἀγαθὸν ἀποτέλεσμα

46. *Περὶ ἀποδημοῦντος εἰ ἄρα ἐπιτείνεται ἡ ἀποδημία αὐτοῦ ἢ οὔ.*

